Prius namque in terra viuebant familiæ hominum
Sine & absque malis, & sine difficili labore,
Morbisque molestis, qui hominibus senectam afferunt.
Mox enim in afflictione mortales consenescunt.
Sed mulier manibus vasis magnum operculum dimouens,
Dispersit, hominibus autem machinata est curas graues.
Sola vero illic Spes in infracta domo *dolio*
Intus mansit, dolij sub labris, neque foras
Euolauit. prius enim iniecit operculum dolij,
Ægiochi consilio Iouis nubicogæ.
Alia vero innumera malatiacet homines errant.
Nam plena quidem terra est malis, plenumque mare.
Morbi autem hominibus tam interdiu quam noctu
Vltro oberrant, mala mortalibus ferentes
Tacite: nam vocem exemit consultor Iupiter.
Sic nusquam licet Iouis mentem euitare.
Cæterum si voles, alium tibi sermonem paucis absoluam
Belle ac scienter: tu vero præcordiis impone to tuis.
Vt simul nati sunt dij, mortalesque homines,

ΜΟΣΧΟΠΟΥΛΟΥ.

Πρὶν μὲν γὰρ.] πρὶν αὐτὶ τῦ πρότερον μ παρῆλυθότ⊖, ϗ πρὶν αὐτὶ τ περὶ τῦ, μ ἀπαρεμφάτ. οὗ πρὶν τόδε γλῶδ. ἐγένετο τόδε. ἔστι δ' ὅτε δύο κεῖ πρὶν ἐν τῷ λόγῳ ἔνθα τὸ ἐν ϑέσιν ἐξ ἀνάγκης αὐτὶ τῦ πρότερον τὸ ϑ δεύτερον αὐτὶ τῦ περὶ τῦ. ζώεσκον.] ἦγον ἔζων, τιὼ ζάω. ζῶ κοινόν, ἀφ' ἧς, ζώω ποιῶ πτῆναῖς· ὡς ἁπλόω, πλόω, ὁράω. ἀφ' ἧς πάλιν ζώεσκον, κατ' ἀπολυθίαν τῦ ἀναλίσκω, πτήσσω, κυίσκω. πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο.] ἀπορῦσι πῶς ἐλθοῦσα ὅπη κακοπιία, ἐπέχει ὥσπερ φειδομένη; εἶτα πάλιν λύουσιν· ὅτι νομίσασα πάντα ἐξῆλυθέναι τὰ κακὰ τὸ πῶμα ἐπέβαλε τῷ πίθῳ. ἔνιοι ϑ λέγουσι λύοντες, ὅτι δι' ἐωυτῆς τὸ πῶμα συγκλείσασα ἐπέσχεν τιὼ ἐλπίδα. δοκεῖ ϑ ϗ ἑκατέροις μὴ τῷ ἀπορουμένῳ προσέχειν τὸν νῦν. ἐπάγει ϑ γὰρ ὅτι τῇ βυλῇ τῦ Διὸς τῦτο ἐγένετο. εἰ ϑ ὡδὶ τῇ βυλῇ τῦ Διὸς ἐγένετο, ὁπότερος ἂν ἐγένετο, ἢ αὖτις πάλιν

ἀποείσε πάντως μέση. πῶς γὰρ ὁ Ζεὺς κακοποιήσειν βουλόμενος, τοῦτο πάλιν ὠφελεῖν φειδόμενος ἐβουλεύσατο; ἴσως οὖν ἡ καλῶς ἠπορήθη τοῦτο. τί γὰρ ἦν δεινὸν ἢ ἀναγκαῖον αὖτη; ὅτι ἤθελεν ἡ Παρδώρα καὶ ὁ Ζεὺς ἵνα κακοποιήσειν τοὺς ἀνθρώπους, ὡς μηδὲ ἴχνος εὐδαιμονίας αὐτοῖς ἐάσειν. ἀλάλητο.] ἀλῶμαι τὸ πλανῶμαι καὶ ὡς ἀθῆκεν συλλαβῆς ὡς ἐν τῷ ἀπιθάω, ἀλαλῶμαι. ἀφ' οὗ ἀλάλημαι παθητικὸς ὢν ἐκείμην, ὡς πεπλάνημαι· τὸ πρίν ἀλάλητο. πλανᾶσθαι δὲ λέγεται, τὰ μὲν τεταγμένα ὁδὸν ἐρχόμενα· ἀλλ' ἐνίοτε μὲν ταύτῃ, ἐνίοτε δὲ ταύτῃ.

ἐξαῦτις.] ἀλδομαι ἐμφύομαι, ὡς καὶ Θεόγνιδι,

Οὔτε τι ἀθανάτων μῆνιν ἀλδόμενος.

ἀλδωσομαι μέλλων· ἠλδάμην ἀόριστος· χωρὶς τοῦ σ· ὡς ἀπὸ τοῦ χέω ἔχεα, ἐξέχεα· τὸ πρίν ἠλδάμην. ἀφ' οὗ ἀλφάσθαι, καὶ ἀλέασθαι ἐκβολῇ τοῦ υ, καὶ ἐξαῦτις. βαλλεο.] βάλλω βέλος· αὐτὶ τοῦ πέμπω, καὶ βάλλω τινὰ τῷ βέλει, καὶ βάλλεται βέλος, αὐτὶ τοῦ πέμπεται, καὶ βάλλεταί τις τῷ βέλει. ἀφ' οὗ βάλλομαι ποιητικῶς, ὅταν μὴ μάτην ποιῶ βίπτεσθαι τὰς ὀφρῦς ἐμέ τινος λέγοντος· ἀλλ' ὑπηνεχῶς ἐν τῇ ἐμαυτοῦ γνώμῃ δέχομαι. ἔστι δὲ ἐνεστὼς βάλλομαι, παρατατικὸν ἐβαλλόμην τὸ β, ἀφ' οὗ προστακτικὸν βάλλου, καὶ κατὰ διάλυσιν τῆς οὐ διφθόγγου εἰς ε καὶ ο, ἀφ' ὧν πολλάκις αὐτὴ γίνεται κιρναμένων, βάλλεο, ὃ δύναται ταὐτὸν τῷ ὑπηνεχῶς λάμβανε. τὸ δὲ πᾶν ἔχει οὕτως· ἐπεὶ γὰρ ὁ πατὴρ ὁ Ζεὺς τὸν χαλεπὸν δόλον καὶ κακομήχανον, ἢ γοῦν τὴν πλάσιν τῆς Παρδώρας διόλου ἐτέλεσεν, ἔπεμψε τὸν κλυτὸν Ἀργειφόντην, τουτέστι τὸν Ἑρμῆν τὸν ταχὺν ἄγγελον τῶν θεῶν, δῶρον ἄξοντα αὐτὴν δηλονότι τῷ πλασθείσῃ, εἰς τὴν Ἐπιμηθέα. ὁ Ἐπιμηθεὺς δὲ ἐκ ἐνόησε, καθά εἶπεν αὐτῷ ὁ Προμηθεύς, ὅτι, φησὶ, παρέδηκεν αὐτῷ τὸν τῶν κακῶν πίθον παρὰ τῶν Σατύρων λαβών, μή ποτε δέξασθαι δῶρον παρὰ τοῦ Διὸς τοῦ Ὀλυμπίου, ἀλλ' ἀποπέμπειν ὀπίσω πρὸς τὸν πέμψαντα δηλονότι, ἵνα μήτι κακὸν γένηται τοῖς ἀνθρώποις. ὁ δὲ δεξάμενος τότε ἐνόησεν, ὅτι τὸ κακῶν εἶχεν. ταῦτα δέ φησι, ἐπεὶ οἱ τῶν τεχνῶν ὀπάονες καθίσαμεν ἀνθρώποις τότε μὲν τὸ ἀποκρυπτόμενον ὑπὸ τῶν κακῶν· νῦν δὲ φανερὸν ὑπάρχον ὃ πάντες ἐνοοῦμεν. τοῦτο γὰρ δηλοῖ Ἑρμοῦ τὸ δῶρον ἄγειν, ὁ αὐτὸς ὤν, ὡς εἴρηται, τῷ λόγῳ καὶ τῇ διανοίᾳ· καὶ Ἐπιμηθεὺς ἀπρονοήτους δεχόμενος. σκέπτεον μὲν γὰρ δίλημμον τῷ ζωῇ τὰ γῆρα τῆς ἀνθρώπων ὅτι τῆς γῆς χωρεῖς κακῶν, καὶ χωρεῖς ἐργασιῶν κοπιρῶν καὶ χαλεπῶν, καὶ χωρεῖς νόσων ἐπιπόνων, αἳ θνητοῖς ἐπάγουσι τοῖς ἀνθρώποις. ταχέως γὰρ ἐν τοῖς πονείᾳ καὶ πόνους οἱ ἄνθρωποι γηρῶσιν, ἀντὶ δὲ ἐξαδρωθῶσι καὶ σκὸς φθιτὸν νόσον. ἀλλὰ ἡ γυνὴ ἡ Παρδώρα τὸ μέγα πῶμα τοῦ πίθου ἀφῆκεν, ἡγοῦν αὐτὸ λαβοῦσα, ἐκκόψασα αὐτὸ δηλονότι, τουτέστι τὰς πάνοσι καὶ τὰς νόσους καὶ τὰ κακά. καὶ τοῦ ἀνθρώπους ἢ ἐβουλήσατο φροντίδας χαλεπὰς, ἃς αὐτοῖ δηλονότι φροντίσειν ἔμελλον μόνη ἢ ἐλπὶς ἐναπολείφθη ἀνθ' ὧν, αὐτὶ τοῦ ἐκεῖ. ζώνηθες δὲ τοῦτο καὶ παρὰ τοῖς κοινοῖς, λέγω ἔνδον ὑπὸ τοῖς χείλεσι τοῦ πίθου, ἐν δόμῳ ἀσφαλεστάτῳ καὶ ἀναπολυλεύτῳ, ἐδὲ ἔξω ἐζέπτη. σκέπτεον γὰρ ἐπέμβαλε τὸ πῶμα τοῦ πίθου, ἢ ἡ Παρδώρα, ἢ αὐτὸ δι' ἑαυτοῦ, διὰ τοῦ βουλοῦ τοῦ Διὸς τοῦ τῆς ἀθροίσεως τῶν νεφελῶν αἰτίου. ἄλλα δὲ πλεῖστα κακὰ κατ' ἀνθρώπους τρέφει· πλήρης μὲν γὰρ ἡ γῆ κακῶν, διὰ τοῦ τοῦ ἀνθρώπων πλεονεξίαν καὶ ἁρπαγήν, καὶ τὰς ἀδίκους δίκας, καὶ τοὺς φόνους, καὶ τὰ λοιπά· πλήρης δὲ ἡ θάλασσα, διὰ τοὺς κλύδωνας, καὶ τὰ ναυάγια, καὶ τοὺς πειρατάς· νόσοι δὲ ἐπάλληλοι ἔρχονται τοῖς ἀνθρώποις, καὶ ὀπτοῖς φέρεται. αὐτοῖς ὠφέλειν· ὁ διὰ ἐπάγει πάλιν τοῖς ἀνθρώποις. ζώνηθες δὲ αὐτοῖς τὸ τοιοῦτον. ὅτι τῇ ἡμέρᾳ καὶ ὅτι τῇ νυκτὶ ἀνθαίρετον. Σιγῇ.] ἤγουν ἡσύχως, ἐπεὶ τοῦ φωνοῦ αὐτῶν ἀφείλετο βουλητικὸς Ζεύς. ὅτως ἐδαμῶς ὅτι δυνατὸν τὸν τοῦ Διὸς νοῦν ἐξευρεῖν. εἰ δὲ ἐθέλῃς, ἔτερόν σοι ἐξω λόγον ὡς ἀπ' ἄλλης ἀρχῆς ἀρξάμενος. ζωντὶ ἐστω, καλῶς καὶ μὴ ἀκριβῶς ἐπισασίας καὶ γνώσεως. σὺ δὲ ὀπτυχῶς αὐτὸν ἐν τῷ σῷ λογισμῷ λάμβανε. Ὡς ὁμόσαν γεγάασιν.] ἴσθι, ὅτι ἀπὸ τῆς αὐτῆς μίζεως ἐβωμόσαντο θεοὶ καὶ ἀνθρωποι θνητοί.

ΗΡΩΚΛΟΥ.

Πρὶν μὲν γὰρ.] ἡ χρόνῳ, τὸ πρίν· ἀλλὰ καὶ τοῦ τάξιν μόνον τῶν πρωτίστων σημαίνει γὰρ, ὅτι ἀνθρωποι μὲν τὸ ἀλόγως ζῶσιν αἱ ψυχαὶ πάντων ἔχουσι κακῶν καὶ ταλαιπωρίας. διὰ τὸ ἄλογον συμπαθούσης καὶ τοῖς ἀπὸ τῆς ἁμάρτησις

μένης πίθοις, ἵνα φύγωσι τὴν μετ' αὐτῆς ζωήν. ἃς δὴ κῆρας ὀνομάζει καὶ αὐτὸς ὁ Ὅμηρος.

Ἀλλὰ γυνή.] ἔστι μὲν ὁ πίθος, ἡ μία δύναμις τῆς εἱμαρμένης, ἡ πάντων τῶν ὑποτεταγμένων ταῖς ποιότησιν εἰς τὴν ὑφεσιν ψυχαῖς χρηστὴ, καλλίονων ἢ χειρόνων, δι' ἃ ἔυμοιροί τινες εἰσὶν ἢ κακόμοιροι. ἐνεῖχε γὰρ ἔτος τὰς πρὸ Ὅμήρου δύο πίθους, τὰς τῶν κηρῶν πλήρεις. διόπερ ἐν τούτῳ καὶ τὰ ἀγαθὰ, καὶ ἐλπὶς ἐν αὐτῷ μόνη, τοῖς δυσυχήσι παραμυθίαν φέρουσα, διὰ τὴν τῶν ἀμεινόνων προσδοκίαν καὶ τὴν μετὰ λύπης τῶν παρόντων κακῶν. ἀναπαύουσι γὰρ ἡ γυνὴ τὸν πίθον, ὡς ἐκφαύσουσα τὰς κῆρας ταῖς ψυχαῖς, ὧν ὄζει παρεσκευή, δεικνύουσα δ' ἑαυτὴν ἀλογημόνας αὐταῖς. τούτων γὰρ σωφρονιζόντων ὑπὸ τῆς πλάνης καὶ ὑξανισταμένων ἀπ' αὐτῆς. Ἄλλως. ποῖ πίθος; τί γὰρ δεῖ πίθου εἰπεῖν φανεῖ οὖν νεώτερος Ἡσίοδος Ὁμήρου· κακῶς δὲ εἶπεν ἐν ἀῤῥήκτοισι δόμοισιν, ὅτι τὸν πίθον δόμον εἶπών. Σίλανος γράφει πίθοισι· πίθον γὰρ τὰ ἐν ὑέργῳ. ἃ πάντα γὰρ τελειοῦνται τὰ τῆς ἐλπίδος. ὅθεν Θουκυδίδης κινδυνώδη παραμυθίαν εἶπε τὴν ἐλπίδα, καὶ Ὅμηρος ἐλπωρὴ ἔπεσται φίλοις τ' ἰδέειν. καὶ Ἔλπομαι ἀῤῥήξειν Διί τ' ἄλλοισί τε θεοῖσιν. Ἔνδον ἔμιμνε πίθου.] ὡς φησιν, ἔμεινεν ἐν τῷ πίθῳ ἡ Ἐλπίς. ἔστι γὰρ τοῦτο ἐν ἀνθρώποις. τοῦτο γὰρ καὶ Κόμανος ὁ ἀρχαιοτόκος τὸ βασιλέως φυτεύσας φησὶν οὖν Ἀείσαρχος, ὅτι ἡ μὲν τῶν κακῶν ἔμεινεν· ἡ δὲ τῶν ἀγαθῶν; ἐξῆλθεν. ὅθεν ἀκυρολογοῦμεν λέγοντες ἐλπίζειν κακά. ἡ γὰρ ἐλπὶς κακῶν, ἐ θεῶν. ἐ δὲ Ἡσίοδος ἀκύρως ὅτι κακῶν εἶπεν. Ἄλλως. ἐξέπτη. ὡς αὖ τὰ κακὰ ἐξῆλθόντα, ἐν τῷ πίθῳ· ταῦτα δὲ λέγει αὐτῷ συμφυῶν αὐτὴν ἀπέχειν τῆς ἀδικίας, καὶ ἀπλαμβανειν τῆς δικαίας, καὶ ἀπλαμβανειν τ' ἀληθείας, καὶ μιμεῖσθαι τοὺς τότε ἀνθρώπους μᾶλλον, καὶ μὴ τοὺς μετ' ταῦτα γινομένους. οἰκείως δὲ ὁ πίθος εἰσάγη διὰ τὴν πειθὼ τὴν ἀπὸ τῆς γυναικῶν. ἀγαθῶν μὲν κενός, ἐλπίδας δὲ μόνας ἔχων κενάς. Ἄλλως. σῶμα πίθοιο, πῶς ἐθέλουσα ὅτι κακοποιὰ ἐπέσχεν ὥσπερ φειδομένη. ῥητέον ἔν, ὅτι ὥσπερ νομίσασα πάντα ἐξῃνλυθέναι τὰ κακὰ τὸ σῶμα τῷ πίθῳ ἐπέδωκεν. ἔνιοι δὲ ἀπ' αὐτῆς τῆς πύλης ἐκδέχον. ὅτι δι' ἑαυτῆς συγκλειοῦσα ἐπέσχε τὴν ἐλπίδα. Τὸ δὲ ἀλάλη, ἀπὸ τοῦ ἀλῶ, ἅλημαι, ἐνεργῶς παθητικῶς. Αἰολικὸς, ὡς δίζημαι καὶ ἀναίχημαι· καὶ κατ' ἀναδιπλασιασμὸν, ἀλήλημαι· καὶ κατ' συγκοπὴν Αἰολικὴν, ἀλάλημαι. Νῆσοι δ' ἀνθρώπιοιν.] τὰς νόσους αὐτομάτως φοιτᾶν σιγώσας εἶπεν, ὡς ἀπὸ τοῦ παντὸς ἡμῖν συμπαθούσας καὶ τὰς τῶν εἱμαρμένης ἐφεδρείας ἐξαίφνης. ἐσωματοποίησε δὲ αὐτὰς συμπαθούσας ἀφώνοις πτήσεσι, ἐνδεικνύμενος, ὅτι καὶ τούτων ἔφοροι δαίμονές εἰσιν· οἵτινες δρῶσιν ἀφανῶς ἐπιπέμποντες τὰς κατὰ τὴν εἱμαρμένην τεταγμένας, καὶ τὰς ἐν τῷ πίθῳ κῆρας διασπείροντες. καὶ τοῦτό ἐστι τὸ ἀφεῖναι αὐτῶν τὸν Δία τὴν φωνὴν, τὸ τοὺς ἐφόρους δαίμονας αὐτῶν κατ' ἐσίαν τούτων ἔτι ποιητὰς αὐτῶν, αὐτῷ τῷ ἔτι δρῶντας ἐφ' οἷς ἐτάχθησαν. αὐτόματοι δὲ, ἤγουν αὐθαίρετοι. λελῃθότως γὰρ ἐπέρχεται τὰ κακά. ἐπεὶ φωνὴν.] ἀθετεῖ ἔτος ὁ στίχος. ὅτι ἄφωνοι αἱ νόσοι. ἀγνοῶν ἢ ὅτι σωματοποιεῖ ταύτας, ὡς Ὅμηρος Ἔνθ' ἐν καὶ Δεῖμον. δῆλον δ' ἐμφανίσαι ὅτι καὶ αἱ νόσοι λελῃθότως ἐπιφέρονται τὰ σημεῖα τῶν κακῶν. Διὸς νόον ἐξαλέασθαι] ἀ δυνατὸν ὄζει τῷ Διὸς νοεῖν ἐκλῦναι, ὃ ὄζει τὴν εἱμαρμένην· ταύτην γὰρ οἱ Στωϊκοὶ Διὸς νοῦν προσηγορεύκασι.

ἐκχορυφῶσαι.] τὸ ἐκχορυφῶσαι δηλοῖ, τὸ ἀποκαλύψαι καὶ εἰς ἄκρον γνῶσιν ἡμᾶς ἀναπέμψαι τῆς ἀνθρωπίνης φύσεως. δηλοῖ δὲ τὸ ἀπαγόμενον. τὸ γὰρ, Ὡς ὁμάδησαν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι, προηγουμένως μὲν εἴρηται εἰς ἀρετήν. εἰ γὰρ ἐν τοῖς αὐτῶν ἐσμὲν πῖσι θεοῖς, οὐχ ἡ φύσις ἡμῶν αἰτία τοῦ κακοῦ, ἀλλ' ἡ θεὶ τὴν προσήκουσαν ἐπιμέλειαν καὶ τελειότητα ῥαδυμία. σαφῶς δὲ ἐκ τῶν αὐτῶν ἐσμὲν οἱ ἄνθρωποι τοῖς θεοῖς, ποιήσει δῆλον εἶναι, ὅτι καὶ ἡμεῖς ποτὲ χρονίαν ἐζῶμεν ζωὴν, καὶ ἦμεν καθαροὶ κακῶν, ὡς οἱ θεοί, διὰ δὲ τὴν ὕφεσιν προήλθομεν ἀπὸ τῶν θεοειδῶν ἀνθρώπων εἰς τοὺς νῦν ὄντας καὶ ἐμπαθῶς ζῶντας. Ἄλλως. ἐκχορυφώσω, ἀνακεφαλαιώσομαι, δυνατὸν μὲν ἀκύρως ἐκτελέσω, οὐ χορυφὴν ἐπιθήσω. δυνατὸν δὲ καὶ ἄτοπος, ἑτέρου σοι λόγου ἀπάρξομαι. ἐπεὶ ἡ χορυφὴ ἀρχὴ τίς τοῦ ζώματος, ἀλαζονικὸς δὲ ὁ στίχος ἔστιν, ἀλλὰ τύπις σοὶ ἀρετὴν σοφὴν πέπτωκεν. εἰ γὰρ συγγνοὺς ἐσμὲν θεοῖς, τῷ δὲ συγγνῶς ἡμῖν ἀγαθῷ φρονητέον, ἀφεκτέον δὲ τῆς κακίας, ὡς κακῷ καὶ ἀσυγγνῶς. τὸ, ὡς,

αὐτὶ τῦ, ὅπ᾽ ἢ τὸ μεγάασιν, ἀντὶ τῦ ἐγθύοντο ὁμῦ ἐν τῦ αὐτῦ γθόνις. ἀλλ᾽ ἡ κακία ἐπιχώρησε. ἢ τῦτο ἦ μὴ τῆς ἐπ᾽ ἀρετὴν σεξόπης, ἵνα καταυλέσῃ τὴν κακίργων τὸ γθόν. αἰχμώδες. ἀπὸ ἦ τ ὕλης χαρακτηρίζῃ τὸ γθόν.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

χθονὶ.] τῇ γῇ. ἐκ τῦ χῶ, τὸ χωρῶ χωὸν, ἢ χθὼν, ἡ πάντα χωρῦσα. Νόσφιν ἄτη.] χωρὶς. τῦτο ἦ τὸ χῆμα πτωτικῶς μὲ ἐκ παραλλήλε καλεῖται, ἡπτοικῶς ἦ σειχαφή. Νόσων τ᾽ ἀργαλέων.] ἀπὸ κοινῦ τὸ νόσφι τε ἀργαλέων νόσων ζώεσκον. αἶτ᾽ ἀνθράσι.] αἳ πᾶσι θάνατον ἐπήγαγον τοῖς ἀνθρώποις. Πῶς ἦ τλημαθέσαν μᾶλλον ἢ οἰκτρὸν βίον ζώντων ἐκείνων τ φρὶν, ὅτ᾽ φησὶ ζῆν ἐκείνες χρεὶς πόνων ἢ νόσων; τλημαθῶς μὲν ἢ ὀκτρίως ἔζων, ἢ νοσερῶς, ἀλλ᾽ ὐκ ἤδεισαν ὃ πάχυσιν. ἀλλ᾽ ἡ γνὴ, ἤγαγε τὸ μεγθανὸν τὸ ἐκ τῆς ἐφεξέσεως τὴν τειχῶν, ἢ αἱ τύτων ἀβρότητες, ἔδειξαν ἡμῖν τοιετοτρόπως τάς τε νόσες, ἢ τὰ σκληρά. φρωλὼ μὲ γὰρ, ὅπω ἰῶ κλίνη ἢ φωμὴ μαλακὴ, ἀδὲ τάπητες, ὅτε χλαῖναι τὴν παχειῶν ἢ λασίων, ὅτε τοιῦτον ἐδέν. ἢ ἡ σκληρότης ἡ τότε, ἢ τὸ ψυχρὸν κοινὸν ὂν τοῖς πᾶσι, ἢ μηδέποτε μεταχὸν τυχὸν θέρμης, ἢ μαλακότητ᾽, ὁμοίως ἢ τὰ λοιπὰ ὐκ ἐδόκεων ἀλγηρὰ ἢ ὀπίπτνα. ἐπεὶ ἦ τὸ ἀβρὸν ὑρέθη ταῖς τέχναις, ἢ φωμαὶ μαλακαὶ ἢ χλαῖναι, ἢ τὰ λοιπὰ, πεπαυκότες ὀπὶ σβαδ᾽, ἢ λασίαν ἐνδυσάμενοι χλαῖναν, ἢ τραφέντες ἁβρῶς. ὕστερον ἦ σκληροκοιτήσαντες, ἢ γυμνιτεύσαντες, ἢ ἀσιτήσαντες, ἐπέγναμεν ὕπω τὰ δυχερῆ, ὥσπερ ἐν πίδῳ ἢ ἀφανεῖ σεκλήφει ὄντα φρὶν κακρυμμένα. φανερωθέντα ἦ, ἢ ἐκχυθέντα τότε, τῇ γναικὶ ἤγαγε τὴν ἐκ τῆς τειχῶν τρυφηλὴν ἢ ἁβρὰν βιοτὴν, ἢ σεὸς ἀυτὸν ἡμᾶς ἐφημέσε, δίκλιν γναικὸς ὡραίας τε ἢ θυμάρες. Ἐσκέδασ᾽.] ἀντὶ τ ἡ ἐκ τῆς τειχῶν τρυφηλὴ βιοτὴ ἐσκέδασεν ἢ ἐσκόρπισεν, ἤγαγε εἰς φῶς ἐξήγαγε ἢ τὰ φρὶν ἀγνούμενα, δυχερὴ, γνωσὰ ἢ κατάδηλα πᾶσιν ἐποίησε.

Λίθες δ᾽ ὁ Πρόκλος φλοισμάτων πεπλησμένες,
Πάλιν φθάγει, ἢ σατύρες, ἢ κρότες.

Μόνη δ᾽ αὐτόθι Ἐλπίς.] πάντα μὲν ἐξήχθη ἢ πεφυκέναι τὰ φρὶν ἀγνούμενα δυχερὴ. Ἐλπὶς ἦ μόνη ἀφανὴς ἢ ἄδηλ᾽, μένει ἐν τῇ π.θφ, ὥσπερ εἰρήκειμεν, ἀδηλείας ἢ δυσηλείας. ἄδηλον ἦ τῦτο. ἀλλ᾽ ὅμως ἐλπίσι χρησοτέρας τρέφομβα, ὥς φησι ἢ Θεόκειτ᾽.

Ἐλπίδες ἐν ζωοῖσιν, ἀπέλπιστοι ἦ θανόντες.

ἀῤῥήκτοισι δόμοισι.] μεταφορικῶς εἶπεν, αὐτὶ τ ἰσχυραῖς συγκρυβαῖς. τίς ἦ οἶδεν, ὅπη τὰ τ ἡμῶν ἐλπίδος σεβήσῃ; δύρας.] δύρας κυρίως, τὸ ἔξω τ δύρας· νῦν ἦ καταχρηστικῶς, ἢ ξοπκωτέρως, τὸ ἁπλῶς ἔξω. κἂν ὁ Πρόκλος ἐν τοῖς τοιύτοις φιλοσόφως αἰ πόμεν᾽, καταφορικός ὅτι ἢ ἀφόρητος. ἀργαλέον.] ἐκ τῦ ἔργε, τὸ δυχερὲς. ἢ ἐκ τ ἄλγ᾽ ἐμπεσεῖν, ἀλγαλέον, ἢ ἀργαλέον. Ἐξέπτη.] ἐξεπτάσθη. μεταφορικὴ ἦ ἢ αὕτη ἡ λέξις, ἀντὶ τ ἐξῆλθε. σεσθεν γὰρ ἐπέμβαγε πῶμα.] σεσὸν γὰρ τ ἐξηθεῖν τ ἐλπίδα ἐκ τ ἀφανῦς συνοχῆς τε ἢ σεισλήψεως, τῇ τ εἱμαρμένης βυλῇ ἐπέβαγε τὸ πῶμα. ἦγεν ἀφανῆ ἔασε ταύτλω μένειν ἡ πόπτε τὰ δυχερῆ γνωρίσασα ἡμῖν τεχνεργία, τυτέστιν ὐκ ἠδωκήθη φανερὸν ἢ τλω ἐλπίδα ποιῆσαι, εἱμαρμένῃ ἀφύκλῳ τνί. ἢ τὸ πῶμα μένον, ἦγεν ἡ ἀδηλία ἐπέλαβε, ἢ ἐκρέτησεν αὐτλω βυλῇ τ εἱμαρμένης. ἀλλὰ Δία ἢ πυροφελιγερέτλω ὀπιδεν εἶπον, ὅτι τλω εἱμαρμένλω κρυεῖ. Αἰγιόχον ἦ αὐτλω λέγει, διὰ τὸ καταγίζειν ἢ καταβάλλειν τὰς δυσκληρουῶτας, πολλῷ τῷ ἐξ ὑερετῦ ζοφερότερον καταγίδων. Ἄλλα ἦ μυρία λυγρά.] ἡ ἐλπὶς μόνη ἀφανὴς ἔμεινε. ἄλλα᾽ ἦ πολλὰ χαλεπὰ, ἡ μυρία, ἢ θρηνητικὰ κατ᾽ ἀνθρώπε πλανᾶ. γέμει γὰρ πολέμων ἡ γῆ, πανεσσῶν ἡ θάλασσα. νόσοι ἦ φανεραί τε ἢ ἀφανέσοποι σγῇ ἢ ἀγνώτως ἐπέρχονται. Τὰ ἐξῆς δῆλα. Οὕτως ὕπ᾽ πω δῷ.] Τὸ χῆμα ὁλόκληρον ἢ συμπερασματικώτατον· χρῆ δὲ ποιητὰς, καλεῖται ὑπόθεσις. ὕπως ὕπ᾽ πω δῷ, ὕπως ἐπεὶ φρ ὁ μὲν ἁπλῶς ἢ ἀπλετῷ ἐκέπ᾽ πολιτδεῖ βίῳ, ἀλλ᾽ εἱμαρμένῃ ζκληρῷ τνί, τὸ φὴν τειχῶν ἐφάνη πολυχρδὲς, ἢ πολύμοχθον, ὐκ ἔσιν ἐκφυγεῖν τὸν νοσὸν τῆς εἱμαρμένης· σεμφρασικῶς αὐτλω τλω εἱμαρμένλω τλω ἡμῖν τὸ ζῆν σεσκιρώσας, στερεᾶς ἀνάγκαις ἢ πόνοις. Λείπ᾽ ἔρα, ὦ Πέρση, μὴ ἀργὲς ἡμᾶς καδδυθμῶναι, ἀλλὰ πανοίως μοχθεῖν, ὡς τὸν ἅλκιμον πόρον τῦ βίε συλλέξειμεν. Εἰ δὲ θέλεις ἕτερόν τοι ἐγὼ λόγον.] τὸ χῆμα προκατάσασις, ἢ σεσ-

καὶ φυλακὴ ἀσφαλὴς, καὶ ἐπωφελὴς κτῆσις. κτῆσαι δὲ πρῶτον οἰκίαν, καὶ γυναῖκα ἀρότριον τε· γυνὴ δὲ ἡ γε πρόβατα διδάξει ἕπεσθαι, καὶ τἄλλα ἐργάσεται ἃ χρὴ ἐν οἴκῳ· ἀλλὰ μὴ πρῶτος ἐν οἴκῳ ἄλλοις ἐπιβάλλειν, ἢ ἄλλος σοὶ πρότερος· εἰ δὲ καὶ σὺ ἐπιβάλοις, ἐν καιρῷ ἐπιβάλλοις, ὄφρα τοι ἔχοντι ἔχωσι τὰ σοί· ἐπὶ δὲ ἐλπίδι βίοτον μὴ θέσθαι

Τοῖσιν ἔπι· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
Αὐτομάτη πολλόν τε καὶ ἄφθονον· οἱ δ' ἐπὶ ἔργοις
Ἥσυχοι ἔργα νέμοντο σὺν ἐσθλοῖσιν πολίτῃσι.
Αὐτὰρ ἐπεὶ κεν τοῦτο γένος χθόνα καλύψῃ,
Τοὶ μὲν δαίμονές εἰσι, Διὸς μεγάλου διὰ βουλάς,
Ἐσθλοί, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων·
Οἵ ῥα φυλάσσουσί τε δίκας καὶ σχέτλια ἔργα,
Ἠέρα ἑσσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν,
Πλουτοδόται· καὶ τοῦτο γέρας βασιλήιον ἔσχον.

Illis erant: fructum autem ferebat fertile arvum
Sponte sua, multumque & copiosum: ipsique vitro
Quieti partis fruebantur, cum bonis multis.
Verum postquam hoc genus terra abscondit,
Ii quidem dini facti sunt, Iouis magni consilio,
Boni, in terris versantes, custodes mortalium hominum:
Qui quidem observant & iusta & prava opera,
Aërem induti, passim euntes per terram,
Opum datores: atque hoc munus regale consecuti sunt.

ΜΟΣΧΟΠΟΥΛΟΥ.

Χρύσεον μὲν πρώτιστα.] ἦγουν χρυσοῦν αὐτὸ τοῦ καθαρὸν καὶ ἀπαθές· λέγει δ' τοῦτο καὶ τὸ καθαρὸν τοῦ χρυσοῦ καὶ ἄσηπτον. συμβολικῶς δὲ καὶ ταῦτα λέγει καὶ τὴν πρώτην φιλοπονίαν.

Ἀθάνατοι ποίησαν.] ὁ Ζεὺς μὲν καὶ ἐποίησαν, οὐχ ὅτι τὴν ἄλλην φαυλότητα γένη· λέγει δὲ πάντας τοὺς θεοὺς τὸ τοῦ ἑνὸς ἔργον διὰ πάντας τοὺς ὁμοειδεῖς ἀναφέρων. ἢ ποιεῖ καὶ ἐν τῷ Κρύφαντες γάρ ἔχουσι θεοί· καὶ δῆλον ἢ δηλοῖ ὅτι αὐτὸς καὶ τὰς διαφορὰς τὴν ψυχῶν ἐποίησεν, ἀλλὰ τοῦ μὲν ποίησιν καὶ παραγωγὴν αὐτῶν λέγει αὐτὸ τοῦ δὲ διαφορὰν τῆς πολιτείας ἀφ' ἑαυτῶν, ὥσπερ, αἴ εἴπερ εἶπον, ὁ δεῖνα κακόζηλον ἐγέννησε σπουδήν, ὁ δὲ τὸν καλὸν τρόπον παιδίον ἐγέννησε, σαφέστερον δέ, ὅτι ἡ γέννησις μέν τὴν παιδίων εἰς αὐτὸν ἀναφέρει, καθὸ ἢ καὶ ὁ τρόπος αὐτῶν. Οἱ μὲν δὴ κρόνου ὕσαν.] ἔτοι μὲν, φησὶ τὸ σημαινόμενον ἀπέδωκεν, ὅτι τῆς βασιλείας τοῦ Κρόνου ἦσαν, ὅτε καὶ αὐτὸς ἐβασίλευε.

ἐζωον δ', ἦγουν ἔζων, ὥσπερ θεοί, ἦγουν ἀπαθῶς, ψυχὴν ἔχοντες φρονοῦσαν ἀπαλλαγμένην τοῦτο δὲ τὸ, ἀκηδέα θυμὸν ἔχοντες Νόστιν ἄπερτε, ὃν παραλλήλως αὐτὸ τοῦ χωρὶς πόνων καὶ ὀϊζύος, ἦγουν ὀδυνῶν καὶ παλαιπωρίας. ἔτι δὲ καὶ δείλαιον γῆρας, ἦγουν ἄθλιον, ἐπὶ αὐτοῖς· ἀεὶ δὲ καὶ τὰς πόδας καὶ τὰς χεῖρας ὁμοίους ὄντες, ἦγουν ἐν τῇ αὐτῇ ἡλικίᾳ ὄντες, καὶ τρεπόμενοι, ἐτέρποντο ἐν δαιτὶ ἀλύπως ἀπὸ χειρῶν ἀπάντων ἐκτός. ἔθνησκον δέ, καθὼς ὑπνῳ δεδμημένοι. ἐσθλὰ δὲ πάντα τούτοις ἦν· ἦγουν δικαιοσύνη καὶ φιλοξενία καὶ τὰ τοιαῦτα. Φέρε δὲ καρπὸν πολύν τε καὶ ἄφθονον, (ἐπεὶ γὰρ τῷ πολλῷ τὸ ἄφθονον) ἡ ζείδωρος ἄρουρα, ἦγουν ἡ τὰ τοιαῦτα ζωὴν δωρουμένη γῆ. ἄρουρα γὰρ χωρίον ἢ ἠροτριασμένη γῆ. Αὐτομάτη.] ἀντὶ τοῦ ἐκ τῆς ἑαυτῆς φύσεως, μηδενὸς ἐπιμελουμένου. οἱ δ' ἐπὶ ἔργοις ἥσυχοι.] ἦγουν καὶ τοῖς ἑαυτῶν βίοις ἥσυχοι, χωρὶς ταραχῆς, εἰρηνικῶς, ἀπραγμάτως καὶ ἐθελημοὶ καὶ ἥσυχοι, τὰ ἔργα τῆς γῆς ἐκαρποῦντο, ζῶν ἐσθλοῖς πολλοῖς, ἦγουν φιλανθρωπίᾳ, δικαιοσύνῃ, καὶ τοῖς λοιποῖς. Ἐπεὶ δὲ τοῦτο τὸ γένος κατεκάλυψε ἡ γῆ, αὐτὶ τοῦ τὰ σώματα τούτων ἀποθανόντων, τοί μὲν, αὐτὶ τοῦ, ἔτοι μὲν. ἦγουν αἱ ψυχαὶ αὐτῶν, φησὶ τὸ σημαινόμενον ἢ καὶ ταῦτα ἀποδίδωσι, δαίμονές εἰσιν ἐπιχθόνιοι, ἀγαθοὶ, διὰ τὴν βουλὴν τοῦ μεγάλου Διὸς, φύλακες τῶν ἀνθρώπων, ἦγουν ἔφοροι οἵ τινες ἐφοροῦσι καὶ τὰς δίκας, ἦγουν τὰ δίκαια, καὶ τὰ ἔργα τὰ σχέτλια, ἦγουν τὰ χαλεπά. Ἠέρα ἑσσάμενοι.] αὐτὶ τοῦ ἀορασίαν ἐνδυσάμενοι, παντταχοῦ καὶ τὴν ὑγρὸν φερόμενοι.

Πλουτοδόται.] ἦγουν ταῖς ἑαυτῶν δωρεαῖς πλουτίζοντες τοὺς ἀνθρώπους. καὶ τοῦτο, ἦγουν τὸ πλουτοδόται εἶναι, ἔσχον τιμὴν βασιλικὴν, ἤγουν βασιλεῦσι πρέπουσαν.

ΠΡΟΚΛΟΥ.

Χρύσεον μέν.] πᾶς ἔτος ὁ παρὰ τοῦ ἀνθρωπίνων πολιτειῶν λόγος ἐνδείξιν ἔχει τοῦ ἐν τοῖς ζωαῖς τοῖς ἀνθρωπίναις μεταβολῶν, εἰς κακίαν ἐξ ἀρετῆς, καὶ εἰς ἀρετὴν ἐκ κακίας. καὶ μὴ εἶναι μίαν ἐν πᾶσι ζωὴν, ἀλλ' ἔχειν ποικιλίαν· εἰ δέ ποτε μὲν ἄμεινον γένος εἶναί φησι, ποτὲ δὲ χεῖρον, ἀεὶ καὶ τοῦ ἀμείνονος ὄντος καὶ τοῦ χείρονος, ἃ γὰρ

ἀπολέσῃ

ἀπολέσῃς τὰ παρ' ἀνωτέρω. ὁδὸς γὰρ πολλῶν μᾶλλον τὰ ἀγαθὰ κατὰ φύσιν ὄντα τοῖς ἀνθρώποις, ἃ δεῖ θαυμάζειν. ὡς γὰρ ἀρέστινα τοῦτον ὁρῶν, τὰς τοιαύτας ὁδοὺς μεταβολάς. καλύει γὰρ ὁδὸν ποιητικῶς, ὡδὶ μὲν εἰς σιδηρᾶν γένος, ὡδὶ δὲ χρυσοῦν. εἰ δὲ τοῖς ὠμεταβόλοις εἰς ἔνδειξιν χρῆται ζώων τῷ χρυσῷ καὶ ἀργύρῳ καὶ σιδήρῳ, μὴ δὲ τοῦτο θαυμάζωμεν. ποιητικὸν γὰρ ἡ διαφορὰ καὶ ἡ δι' ἐκάνων τῆς ἀληθείας ἔνδειξις.

Οἱ μὲν δὴ Κρόνου] ὅτι μὲν ἀπὸ χρυσοῦ γένους ἄνθρωποι ζωὴν εἶχον καθαρὰν καὶ ἄλυπον καὶ ἀπαθῆ καὶ ταύτην ὁ χρυσὸς δηλοῖ, καθαρὸν ἐξηνάσθαι καὶ Πλάτων, φανερὸν. καὶ ὁ χρυσὸς ἄδηλος ἰὸς καὶ ἰσχύος· καὶ διὰ τοῦτο φέρει τῆς ἀπαθείας εἰκόνα. πῶς δὲ ὁπὸ Κρόνου ἔζων οἱ τοιοῦτοι; μανθάνομεν ἀπολιπόντας, ὅτι τῆς νοερᾶς ἀστὴρ ὢν ὁ Κρόνος ζωῆς, κόρος ὢν τοῦ νοῦ, μᾶλλον δὲ νοερὸς νοῦς, καὶ καθαρὸς· τὸ γὰρ κορὸν σημαίνει τὸ καθαρόν. Πάντες οὖν οἱ νοεραὶς ζωῆς ζῶντες, Κρονίαν ἔχουσι πολιτείαν καὶ διὰ τοῦτο λέγεται βασιλεύειν αὐτοῦ ὁ Κρόνος, ὥσπερ ὁ Ζεὺς τὴν πολιτικὴν ζωήν, καὶ τὴν ἀεὶ κατὰ πολιτείαν, τὴν πάντα κοινὰ τιθεμένην. Οὐκ ἀφ' ἑαυτῶν οἰκείαν τοῦ βασιλέως, τὴν πάντα κοινὰ τιθεμένην μεταβάλλειν, ἀλλὰ διὰ ψυχῶν τὴν ζωὴν μεταβαλουσῶν, ἄλλον βασιλέα ποιεῖσθαι δεῖ. τὸν δὲ μεθ' ἡμᾶς ἀπὸ τοῦ βασάνου μᾶλλον ἀναλύσαντα καὶ μετανοήσαντα. Ὡς ἔστι θεοὶ] εἰλότως οἱ αὐτὸς κάθαρσιν ποιοῦντες, πάθους, καὶ τὸ χρυσοῦν διὰ τοῦτο τῷ ἀπαθεῖ καὶ καθαρῷ ὁμοιωθέντες, ὁμοιότατοι τοῖς θεοῖς λέγονται εἶναι. καὶ δὴ οἱ θεοὶ φρόνιμοι εἶναι ἀναγκαῖς· αἱ γὰρ ψυχαὶ ὑπὸ καὶ μίμησιν ἐκείνων ταύτης ἐπιτυγχάνουσι τῆς εὐδαιμονίας. ὑδέ τι ἄλλο ἐστὶν ἢ Κῆρες] καὶ τοῦτο Κρόνιον δῆτα· καὶ δὴ τὸν Κρόνον αὖ μελαίνας ἔχειν ταῖς ὀφρύσι τὰς τρίχας φασὶν Ὀρφεύς, Πλάτων δὲ τοὺς ὅτι τοῦ Κρόνου πρεσβυτέρους ἀποκαλλύνειν φησὶ τοὺς γήρᾳ, καὶ αὖ γίνεσθαι νεωτέρους. ἐνδείκνυται δὲ πάντως, ὡς ἄρα οἱ κατὰ θεὸν ζῶντες, καὶ διὰ τοῦτο Κρονίως ζῶντες βίον, ἀεὶ ὅπου τὰ ἀμείνω ὑπάρχει, τὴν τοῦ γήρως ἐκείνου ἀποτρέπουσι· καὶ δὴ τῇ χρήσει τὸ νεῦρος ἔξω τοῦ τόξου φέρουσι μᾶλλον ἢ ἐν αὐτῷ, καὶ ἀμείνους, τὸ παρὰ φύσιν ἐν ἕξει ἔχοντες χρῆσθαι ἐν αὐτοῖς.

Δαίμονες] ἴσέον, ὅτι τὸ Θάλεια ἀπόδεικτον τῆς ἰσοχίας καὶ ἡ Μίκαν δὴ τῆς εὐθρόνου ἡγεμόνος, ἧς δ' αὖτα θάλειαι καὶ μῆκυν θάλειαι. αὖτως ἡ εὐνομία, καὶ ἡ Χάρις καὶ ἡ Νέμεσις, διὰ ταῦτα, Οἷς μὲν τηλύγετον τέρψῃ, θαλίη ἐπὶ πολλῇ. καστὸν δὲ φέρει ζείδωρος ἄρουρα.

Αὐτόματα.] καὶ φύσει τοῦτο τῆς ἀφθονίας καὶ εὐμοιρίας σημεῖον. ἀθάλαμοι] ἀταμίευτοι, ἀθαλαμεῖν, ἀθαλαμοὶ καὶ ἥσυχοι ταυτὸν ὄντα· ἡσύχως καὶ ἐκοσίως ἤνοιμεν. ἐμφαίνει δὲ διάθεσιν ψυχῆς ἀρίστης, ἀφ' ἧς ὁδηγεῖται τὰ χαίρειν καὶ εὐφραίνεσθαι, καὶ ἀλύπως καὶ ἀμερίμνως ἀντὶ πολλῶν πόνων. Θνῆσκον δ' ὡς ὕπνῳ.] καὶ τοῦτο ἐπόμενον τοῖς ἀπόνως ζῶσι, τὸ τέλος ἀπὸ σωμάτων λύειν ἀζίαστον γένεσθαι καὶ ἄπονον καὶ οἷς ἀποβαλεῖν ἐστὶ χρεὼν τὸ ἀφροντίστως τὰ ζῆσαι. καὶ διὰ τοῦτο ἅπαν παραπλήσιον ἐστὶ τὸν θάνατον εἶναι τῆς ἀφράστου συμβαίνοντος καὶ φύσει, ἀλλ' ἑκουσίως. οἱ δ' ἐθάλαμοι] ἀθαλαμεύτοις ἔζων καὶ βίοις ἀπόλαυσιν ἀπολαύοντες. Αὐτοὶ ἐπικίσσευ.] τὸ μὲν ἀ ζωὴ δὴ ἐν τῷ χρυσῷ γένους, εἶπεν· ἀπολόμενος δὲ φράζει, τὸν μὴ τὸν θάνατον αὐτοῦ λῦσις καὶ τάξις σῶμα γὰρ, ὁ βίος, ὁ θάνατος καὶ ἡ λῦσις εἶπεν ἄν, ἀπαθὴς μὲν ὁ βίος, ἀζίαστος δὲ ὁ θάνατος· τὰ δὲ τρίτον νῦν λέγεται δαίμονα λῆξεν. οἱ γὰρ ἅπαν βασιλικότερον καὶ βέλτιον θεῶν ἐν δαίμονων τάξει καθίστων, τὸν ζωὸν ἄπονον ἀνυπαίτιον βίον αὐθρώπων οἱ ἀγαθοὶ ὄντας καὶ τοῖς ἀνθρώποις ἀγαθῶν αἴτιον, φυλάττοντες αὐτῶν ἀπέμενα τὸν βίον, εὐπορούντες ποιοῦσι τὴν καὶ σῶμα αὐτῶν ζωήν. Τοὶ μὲν δαίμονες] τοὺς μεθεστηκότας τοῦ ζῆν, ὄντας δὲ φύλακας τοῦ βίου ἀνθρώπων δαίμονας καλεῖ, παρὰ τὸ δαῆναι τὰ πάντα, ἢ μᾶλλον ἐν τοῖς ἀγαθοῖς καὶ κακοῖς τοῖς ἀνθρώποις. Ὅμηρος δὲ δαίμονας τοὺς ἀνθρώπους ἀεὶ καλεῖ, ἀλλ' ἀπὸ τοὺς θεούς. ἐπὶ πᾶσι] εἰς τέσσαρα διαιρεῖ τὴν λογικὴν ἀπάντων φύσιν· τὴν μὲν πρώτην θεῶν τὴν δὲ δευτέραν δαιμόνων τὴν δὲ τρίτην ἡρώων· καὶ τὴν τετάρτην ἀνθρώπων. καὶ τὸ μὲν θεῖον ἡμῖν ἀνεπίγνωστον· δαίμονας δὲ τοὺς ἐφορῶντας τὰ ἀνθρώπινα, φησὶν ὁ Πλάτων φησίν. Ἕ ἄλλοι, ἐπιχθόνιοι.] πολλαχοῦ, ἐπιχθόνιοι καὶ ἐπιχθόνιοι δαίμονες, πάντες ἐπιχθονίους λέγει, ἵνα φόβος ἐγγένηται ἀνθρώποις διὰ τὸ πανταχοῦ εἶναι τοὺς ἐφόρους. Πλουτοδότης.] τοῦτο παρὰ δύναμιν ἐστὶν, ἀποχειρίαν ἐπὶ τοὺς βασιλεῖς· οἱ γὰρ πολλοὶ δέονται ἀπόρους ποιεῖν τοὺς ἀνθρώπους διαφόρους

πλοῦ

τὴς ὄντες. μοῦνοι γὰρ λέγει σφῶϊ γε βασιλῆας τοὺς τιμίους, καὶ τοῦτο δῆλον ἐκ τοῦ ἀγαθοποιεῖν, καὶ πλουτοδότας εἶναι δεῖ τοὺς βασιλῆας ἄνδρας, καὶ δωρεῖσθαι τὰ τοῖς τῆς χρημάτων ὀδυνῶμαι, ὧν εἰσιν ἄλλοι χορηγοὶ καὶ βάλλουσι τῆς ὁδοῦ.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Χρύσεον γένος] καθαρὸν, τίμιον, πανευπρεπὲς ἑαυτὸς, ζῶν τὸν βίον ἐκεῖνον φιλοπάλως, ὃν ἀφθονίαν ἁπλοῦν καὶ ἀσυμπαθέστατον, καὶ δίκαια τοιαῦτα χρυσοῦν ἢ λέγει, διὰ τὸ λαμπρὸν, ἢ τὸ τίμιον, ἢ καλὸν αἰσθητὸν, ὡς ὁ χρυσὸς ἰδεῖν.

Χρυσὸν γὰρ ἰὸς τοῦ πάντων ἰοὶ μόνον,
Ὡς τιμὴ μαγνήτιδος ἐλκτικὴ δρόμου ἄνευ·
Ἡ σκορδικὴ δύσπνοια πρὸς τὸ τερπνὸν μάτην.

Μερόπων] μεμερισμένων ἐχόντων ὅπα τοῦ διαλέκτου. ἄλλως γὰρ ὁ Σκύθης, καὶ ἕτερος ὁ Πέρσης, καὶ τὰ λοιπὰ τῶν ἐθνῶν, ἄλλως πως διαφόρως ἀλλήλοις λαλοῦσιν. ὀλύμπια δώματ' ἔχοντες.] ἢ τὸν ὁλόλαμπτον ἔσωθεν κατοικοῦσα εἰμαρμένην τινῶν. πρότερον γὰρ ἢ τὸν κόσμον ἐποίησαν. καὶ γὰρ τοὺς Ἕλληνας, εἰμαρτὸ θρυλλεῖς κόσμον, καὶ γάλατος, ἢ κυείας καὶ φρουτὴ εἱμαρμένη καλεῖται. δευτέρα γὰρ καὶ μέθεξιν ἐκείνης εἱμαρμένης, ἡ ἐξ ὑσσωπῶν καὶ τῆς ἀστρικῆς κινημάτων, πάντα τὰ καὶ τὸν βίον πληροῦσα. Οἱ μὲν οὖν Κρόνου ἦσαν.] ἤτοι μὲν οἱ ἄνθρωποι οἱ τοῦ χρυσοῦ γένους, ὅτι τοῦ Κρόνου ἦσαν. τινὰ ἄκαιρον ὅτι στοιχειακῶς λέγειν, ὅτι οἱ τότε ἄνθρωποι ἦσαν ὁπότε ὁ Κρόνος καὶ τὸ σκοτεινὸν τοῦ ἀέρος ἔρεβος ἐβασίλευε, καὶ ἐπεκράτει τοῦ ὕσσωπος· τότε γὰρ ἀδιάκοπον εἶχε ἀνθρώπους, ἢ ἕτερα ζῶα πολλὰ καὶ Ἐμπεδοκλῆς· καὶ φησὶ τοῦτο ἀπλοῦν καὶ ἄλυπον, φησὶ φυτὰ ἡμέρους καὶ ζῶα. ὅταν δὲ μᾶλλον τοῦτο ἀλλοιωθεῖ. οἱ τοῦ χρυσοῦ γένους τότε ὑπῆρχον, ὁπότε ὁ Κρόνος καὶ ἡ ἄγνοια ἡ δολοῦσα τὸν νοῦν, καὶ ἡ τῶν πραγμάτων ἀπειρία σοφία, καὶ ἀτεχνία τοῦ ὕσσωπος, ἦγεν τὸ ζωοειδὲς παφλάζον, καὶ εἰς μίμησιν ὕσσωπος ἁπλῆς χύσης, καὶ τοῦ ἐν αὐτῷ λογικοῦ, ἐπικρατεῖ καὶ ἐβασίλευε, ὥσπερ ἀκλινῶς καὶ ἀσφαλῶς τοῦ νοῦ κατακόσμησις. τουτέστιν, ὅτε ὅπω ἦσαν οἱ ἄνθρωποι σοφώτεροι, καὶ τέχνας εὑρόντες. Κρόνου δὲ ἡ ἄγνοια νοῦ, παρὰ τὸ λαρὸν καὶ μέλαινα καὶ σκοτεινὸν τὸν νοῦν ἀπαγάζουσα, οὐκ ἀνθρώπους σοφωτέρους καὶ τεχνίτας ἐποίησε, καὶ τὸ ζωοειδὲς παφλάζον. Ἀθάνατα δὲ τὰ στοιχεῖα κελεῖ, ὅτι τινὲς ἄφθαρτα ταῦτα φασὶν, ἢ διὰ τὸ μακροχρόνιον ἀθάνατον δὲ καὶ τὰ ἄφθαρτον καὶ τὸ μακροχρόνιον λέγει. Ὡς τε θεοὶ δ' ἔζωον.] ἦγεν ἀκοπίαστον καὶ ἀμοχθον καὶ ἀφρόντιδα βίον ἔζων, ὥσπερ οἱ θεοὶ, ἅπερ τὰ στοιχεῖα καὶ οἱ ἀστέρες· ἃ γὰρ μοχθῶ ταῦτα καὶ κοπιᾷ ἢ ὡς βασιλεῖς ἔζων, διὰ τὸ ἐπίεσθαι τῆς διαίτης καὶ τὸ ἀλυσιτελὲς ἢ ὡς σοφοὶ, τουτέστι φιλόσοφον βίον ἔζων, ἀπράγμονα πάνυ καὶ ἀθόρυβον, ἀρεμίσιον τοῖς παραλημένοις λαχαροῖς, καὶ ἀκροδρύοις καὶ ὕδασι, καὶ κεχειμένοι πρὸς κατοικίαν καὶ ἀπλαίοις καὶ ὄρεσιν. ὅτι καὶ τὸ θεὸς ὄνομα πέντε σημαίνει, τὰ στοιχεῖα, τοὺς σοφοὺς, τοὺς βασιλεῖς, τὰς ψυχικὰς δυνάμεις, καὶ τὰ πάντα καὶ τὴν φύσιν αὐτῶν, ὧν οἱ Ἕλληνες εἱμαρμένην καλοῦσιν, πρώτην ὕπαρξιν εἶπον. ἀκηδέα] ἀφρόντιδα, ἢ καὶ ἄλυπον· ἔπω γὰρ αὐτοῖς οὐδὲν ἀλγεινὸν ἐπεγνώσκετο, πρὸ τοῦ φανῆναι τὴν ψευδῆ καὶ τὰς τέχνας· νῦν γὰρ ἀθάνατος ἅπας εἰμὶ πόνων καὶ φαρμάκων, καὶ ἡμερῶν, εἰ ζωπυρησόμεθα ἢ γυμνασόμεθα, ἢ δυσκολοκοπήσομεν, δίδυς ἡμῖν ἄλγη καὶ νόσους, καὶ ὅσα ἡ παιδοφθορὰ τῆς τεχνῶν δύσεως τῷ βίῳ ἐπεσώρευσε πρότερον ἢ τοῖς τότε ἀνθρώποις οὐδὲν τούτων ἐπεγνώσκετο. Νόσφιν ἄτη.] χωρὶς πόνων τε καὶ ὀιζύος, καὶ πολυκακοπαθείας ἐκτὸς ἔζων, ἢ τῶν ἀλλων, ἃ γὰρ ἐγίνωσκον ταῦτα. ἢ χωρὶς κόπων, καὶ πόνων, καὶ ὀιζύος, καὶ μόχθου, ἅπερ τὰ βιοπαθῆ πόνων ἢ τὸ πᾶν κοινῶς συλλαβή. ἐκὼν γὰρ ἢ ἀκουσίως ἐκτείνεσθαι. οὐδέ τι δειλὸν γῆρας.] οὐδὲ κατὰ μικρὸν δειλὸν ὑπῆρχεν αὐτοῖς τὸ γῆρας, ὡς νῦν ἡμῖν· ἢ ὅτε, οὐδὲ ἔτι καὶ ἀκμὴν ἐνῶν γῆρας δειλὸν καὶ ἄθλιον, ἢ δειλίας ἀνάμεστον. καὶ ἀληθῶς λέγει· ἀώρως γὰρ ἐτελεύτων, καὶ πρὶν εἰς γῆρας ἐλάσαι· ἢ ὅτι ἀφρόντιδες ζῶντες, οὐκ ἂν ἐγήρασκον ἀεὶ ἢ τόδε.] ἀντὶ τοῦ καὶ τὸ βασιλικὸν ἕκαστον ὑπάρχοντες, καὶ καὶ χειρῶν γηραιὸν καὶ ὁ μεταμέλόμενος πρὸς τὸ ξυμφέρον καὶ αὐξηρὸν, ἀνθ' οὗ ἕτερος ἔχοντες. Τέρπνιτ' ἐν δαλίῃσι.] δαλίας φασὶ παρ' ἡμῖν, ἢ μεγάλη ὀργυιὰ λέγει. ἐκτείνεσθαι ἢ τοιοῦτο ζωοδαίτησιν καὶ φιλαλλήλων τοῦτο ἀνθρώπων λέγει, ἢν εἶχον πρὸς συλλογὴν βαλάνων, καὶ τῆς ὀργίων καὶ ἐδωδίμων τῆς λοιπῶν ἀπεχόμενοι. κακῶν ἔκτοθεν ἀπείρων.] μισοπονηρίας, κακοπραγμοσύνης, φθόνου,

φθόνε, καὶ τῆς τοιούτων λέγει. τῆς γὰρ ἄλλων κακῶν ἀρχομένους εἶχον, ψύχος, καύσωνα, ἐπιθέσεως τῆς θηρῶν, καὶ λοιπῶν· καὶν ἀλγηρὰ τούτοις ἐκ ἐδόκουν, διὰ τὸ ζωτρόφους εἶ) αὐτοῖς, καὶ δι' ἀσφάλειαν ἑτέρας ζωῆς. Θνῆσκον δ' ὡς ὕπνῳ.] νοσοῦντες ὀπιθανάπα, καὶ ὁ πάσχουσιν ἐκ εἰδότες, ὡς δεῖ κοῖτον δεῖ τῷ γλυκῷ καταφρόμενοι ἔπιπτον, καὶ ὕπως ἀναστήσονται. ἐσθλὰ δ' πάντα Τοῖσιν ἔλω.] πάντα τὰ ἀγαθὰ ἦν αὐτοῖς, ἃ πρὸ εἶπον, φιλανθρωπία, ζωοδιαγωγὴ καὶ συμβίωσις, καὶ ὅσα τοιαῦτα· ἔτι δ' καὶ τὸ μηδὲν δεδιέναι τὸν θάνατον. ἐτελοῦντο γὰρ ὡς ὕπνῳ δεδμημένοι, ἤγουν ἀνοδυνῶς, ἐκ εἰδότες ὁ πάσχουσιν, οὐδὲ τὸν θάνατον ὀπιγινώσκοντες. τὸ γὰρ ἄγνωστον ἐκ ἀλγυνεῖ, κἂν ἔσῃ λίαν βαρύτατον. καρπὸν δ' ἔρδε ζείδωρον ἄρουραν.] τὰς βαλάνους, καὶ τὰ ὡραῖα πάντα λέγει ἀκρόδρυα, καὶ ὅσα ἡ γῆ αὐτοματίζουσα δίδωσι. ζείδωρον δ' ἡ γῆ κατ' ἐμέ, ἢ ἐν τῷ ζέειν, καὶ θερμαίνειν, ὑπὸ τοῦ ἡλίου δηλονότι, δωρουμένη πάντα· ἐχὶ τὰς ζείας μόνας, ὡς ἔφ τινές φάσκουσι. πολλόν τε καὶ ἄφθονον] ἐκ παραλλήλου τὸ αὐτό, ἀντὶ τοῦ πολύ. ἢ καὶ ὅπω, πολύ· ἵ καὶ μὴ φθόνῳ ἀρπαζόμενον τοῖς τότε, ἀλλὰ φιλανθρώπως σιτούμενον. τὸ δ' πολλὸν νδ, ἐκ διῤῥῆμα, ἀλλ' ὄνομά ἐστιν, ὁ πολλός, τοῦ πολλοῦ, τῷ πολλῷ, τὸν πολλόν. εἰ δ' ἐκ ἦν εὐθεῖα ὁ πολλός, ἀλλ' ὁ πολύς, ἢ δοτικὴ ὁ τῷ πολλῷ ἂν ἐχάφετο, ἀλλὰ τῷ πολεῖ, καὶ ὁ μεγάλ- δὲ εὐθεῖα ἐστί, καθὼς Αἰσχύλ- δείκνυσι χάφων,

Ὦ μεγάλε * Ζεῦ, καὶ πολιοῦχοι θεοί.

εἰ δ' ἀπὸ τοῦ ὁ μέγας ἐκλίνετο, ἐκ ἂν τῷ μεγάλῳ καὶ τοῖς μεγάλοις ἐκλίνομεν, ἀλλὰ τῷ μέγα, καὶ τοῖς μέγας, καὶ δεῖ τῆς λοιπῶν ὁμοίως. Οἱ δ' ἐθελημοί.] ἐκ παραλλήλου τὸ αὐτό, ἀντὶ τοῦ ἥσυχοι. ἡ ἐθελουσία γνώμη ὄντες ἥσυχοι· πολλοὶ γὰρ δορυβώδεις ὄντες, διά τινα φείσασιν ἄκοντες ἡσυχάζουσιν. ἔργα νέμοντο.] ἔργα νῦν τῷ συλλογίῳ τῆς αὐτομάτων καρπῶν λέγει. τὸ δ' νέμοντο, ἢ ἤθιον, ἢ ἔνεμον, καὶ διεμέριζον ἀλλήλοις. Αὐτὰρ ἐπεί κεν.] ἑπτὰ δὴ δ. τὸ κᾶ δὲ μακρὸν, ὡς κοινὴ συλλαβὴ· εἰς μέρ- γὰρ λόγ- λήγ. οἱ δ' τὰ μέτρα ἐκ εἰδότες, καὶ ὅτι συμφώνῳ ὀπιφερομένῳ καὶ ταῦτα τὸ ν ὑποβάλλουσι, μὴ δ' ν βέλον δ' γράφειν αὐτὸ κακῶς. Τοὶ μὲν, δαίμονές εἰσι.] ἤγουν θεοί. ἐπιφωνηματικὸς δ' ὁ λόγ- , καὶ τολμηρὸς, θεὺς ἐπιχθονίους λέγων· δαίμονες γὰρ καὶ θεοὶ οἱ αὐτοὶ λέγον δ' κατά τινας. ἄλλοι δ' διαιροῦσι τοὺς δαίμονας, ὑσίας λέγοντες αὐτοὺς εἶ) ἀσωμάτους, τὰ περὶ γῆν ὁρῶντας καὶ ὑπὸ γῆν. τινὲς δ' καὶ τὰς ψυχὰς δ' ὑποδιαίπτων. ἥρωας δ' καλοῦσι, τοὺς ἐκ τοῦ ζῆν μεταστάντας. τὸ δ' κρεῖττον, θεοὶ οἱ θεώμενοι, καὶ ὁρώμενοι ἀσέρες καὶ τὰ στοιχεῖα· ἢ οἱ θέοντες καὶ πρέχοντες. δαίμονες δ', αἱ ψυχαὶ δωάμεις, καὶ αἱ ψυχαὶ δαίμονες καὶ ἔμφρονες ὅσαι, ἢ δαίζουσαι καὶ διαμείζουσαι πάντα καὶ κείνουσι κατ' ἀξίαν. ἥρωες δ', οἱ ζῶντες καὶ ὄντες ἀρετῆς τινὸς μέτοχοι. ἄνδρωποι δ', οἱ ἄνω ἀθρῶντες καὶ γινώσκοντες ἃ ἀπώσασι. θεὺς δὲ καὶ ἐφόρους τῆς δεῖ γῆς, βουλῇ τῆς μεγαλοδυνάμου εἰμαρμένης λέγει γνέσθαι, τοὺς ἀνεπδέκτους κακίας ἀνθρώπους ἐκείνους, καὶ τοὺς ἐν ἀνθρώποις δικαιοσύνας καὶ ἀδικίας ἐφῶν, ὅπως ἀναστέλλῃ τῆς ἀδικίας τὸν ἀδελφὸν, λογιζόμενον ὅτι δωάμεις τινὲς εἰσὶν ἀφανῶς ἐπιπολεῦσαι τὸν βίον, καὶ πάντα ὁρῶσαι, καὶ κείνουσι. φύλακες.] ἐπτηρηταὶ τ' ἀνθρωπίνων πραγμάτων. κήτλια.] ἄδικα, φαῦλα· κητικὰ γὰρ καὶ κεκαπτικὰ λίαν τὰ φαῦλα καὶ ἀδάημονα, καὶ μὴ ζωτόμως ἀφ' ἡμῶν ἀποβέροντα, καθάπερ τὰ χρησά. Ἡ ἔρα ἐσάμενοι.] ἀντὶ τ' ἀορασίαν ἐνδεδυμένοι. λύσις δ' τοῦτο τῷ ἀντιπίπτοντ-. ἴσως γὰρ ἂν εἶπεν ὁ Πέρσης, εἰ ἐν γῇ εἰσὶ, πῶς ἐκ ὁρῶμεν αὐτούς; ὅθεν ὕπως εἶπεν. ἠέρα δ' λέγει, τ' ἀορασίαν· ὅτι ὁ ἀὴρ φύσει ζοτεινός ἐστιν, ὑπὸ δὲ τοῦ ἡλίου λαμπρύνε). τὸ ἑστάμενοι δασυντέον· ἐκ τ' ἔω γὰρ, τὸ ἐνδύομαι· ὅθεν καὶ εἶμα, τὸ ἱμάτιον. Πλουτοδόται.] τοῦτο εἶπεν, ἅμα καὶ τὸν ἀδελφὸν παρρῆπων ἀγαθοεργεῖν, ἀγαμοιβὶ τοιαύτῃ ἐλπίζοντα καὶ τοὺς δικαστὰς ἀποτρέπων δωροληπτεῖν, λέγων μᾶλλον βασιλεῦσι καὶ ἄρχουσιν ἁρμόδιον εἶ) τὸ διδόναι καὶ πλουτίζειν, ἢ τὸ λαμβάνειν.

Δεύτερον αὖτε γένος πολὺ χερειότερον μετόπισθεν
Ἀργύρεον ποίησαν Ὀλύμπια δώματ' ἔχοντες
Χρυσέῳ οὔτε φυὴν ἀναλίγκιον οὔτε νόημα.

Secundum inde genus, multo deterius posteà
Argenteum fecerunt cælestium domorum incolæ,
Aureo neque naturâ simile, neque intellectu.

Ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα πάις ἀδὰ μητέρι πηδῇ
Ἔρχεται ἀτάλλων μέγα νήπιος ᾧ ἐνὶ οἴκῳ·
Ἀλλ' ὅταν ἥβησε καὶ ἥβης μέτρον ἵκοιτο,
Παυρίδιον ζώεσκον ὀπὶ χρόνον, ἄλγε' ἔχοντες
Ἀφραδίας· οὐδὲν γὰρ ἀτάσθαλον ἐκ δύνανται
Ἀλλήλων ἀπέχειν· οὐδ' ἀθανάτους θεραπεύειν
Ἤθελον, οὐδ' ἔρδειν μακάρεσσ' ἱεροῖς ὀπὶ βωμοῖς,
Ἦ θέμις ἀνθρώποισι κατ' ἤθεα. τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε χολούμενος· οὕνεκα τιμὰς
Οὐκ ἐδίδυν μακάρεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.

Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
Τοὶ μὲν ὑποχθόνιοι μάκαρες θνητοὶ καλέονται
Δεύτεροι, ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.
Ζεὺς δὲ πατὴρ ἕτερον ἄλλο γένος μερόπων ἀνθρώπων
Χάλκειον ποίησ', οὐκ ἀργυρῷ οὐδὲν ὁμοῖον,
Ἐκ μελιᾶν, δεινόν τε καὶ ὄμβριμον· οἷσιν Ἄρηος
Ἔργ' ἔμελε στονόεντα καὶ ὕβριες· οὐδέ τι σῖτον
Ἤσθιον, ἀλλ' ἀδάμαντος ἔχον κραταιόφρονα θυμὸν,
Ἄπλαστοι, μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖς μελέεσσιν.
Τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι,
Χαλκῷ δ' εἰργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.
Καὶ τοὶ μὲν χείρεσσιν ὑπὸ σφετέρῃσι δαμέντες
Βῆσαν ἐς ἀρρῶδη δόμον ἀργεροῦ Ἀΐδαο
Νώνυμοι· θάνατος δὲ καὶ ἐσπάλιγξι περ ἐόντας
Εἷλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.

Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
Αὖθις ἔτ' ἄλλο τέταρτον ὅπη χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε δικαιότερον καὶ ἄρειον,
Ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
Ἡμίθεοι, προτέρῃ γενεῇ, κατ' ἀπείρονα γαῖαν.
Καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ,
Τοὺς μὲν ἐφ' ἑπταπύλῳ Θήβῃ Καδμηίδι γαίῃ
Ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο·

Sed centum quidem annis puer
apud matrem sedulam
Nutriebatur crescens, valde rudis, domi suæ:
Cum vero adoleuisset, & pubertatis terminum attigisset,
Pauxillum viuebant ad tempus, dolores habentes
Ob stultitias. iniuriam enim praua
non poterant
A se mutuo abstinere, neq. deos colere
Volebant, neque sacrificare beatorum sacris in aris,
Quatenus fas hominibus ex more. Hos quidem deinde
Iupiter Saturnius abscondit iratus: quia honores
Non dabant beatis diis qui olympum habitant.

At postquam & hoc genus terra occultauit,
Hi quidé subterranei beati mortales vocantur
Secundi: sed tamen honor etiam hos sequitur.
Iupiter vero pater tertium aliud genus hominum
Æneum fecit, omnino argenteo dissimile,
E fraxinis, vehemens & robustum, quibus Martis
Opera curæ erant luctuosa, ac iniuriæ: neque vllum cibum
Edebant, sed adamantis habebant durum animum,
Fœtoces: magna vero vis & manus inuictæ
Ex humeris prouenerant super validis membris.
His erant æneæ quidem arma, æneæque domus:
Ære vero operabantur: nigrum autem nondum erat ferrum.
Et hi quidem manibus propriis domiti,
Descenderũt amplam in domum frigidi inferni,
Ignobiles: mors vero tametsi stupendos existentes
Cepit atra, splendidum vero liquerunt lumen solis.

Sed postquam & hoc genus terra operuit,
Rursum etiam aliud quartũ super terram multorũ alumnam
Iupiter Saturnius fecit, iustius & melius,
Virorum heroum diuinum genus, qui vocantur
Semidei, priori generationi, per infinitam terram.

Hos quoque bellumque malum & pugna grauis,
Alios quidem ad septiportes Thebas, Cadmæam terram,
Perdidit pugnantes propter oues [opes] Oedipi:

Τοὺς

Τοὺς δὲ ἐν νήσοισιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
Εἰς Τροίην ἀγαγὼν Ἑλένης ἕνεκ' ἠυκόμοιο.
Ἔνθ' ἤτοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψε.
Τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατέναυσε πατὴρ ἐς πείρατα γαίης.
Καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
Ἐν μακάρων νήσοισι, παρ' Ὠκεανὸν βαθυδίνην,
Ὄλβιοι ἥρωες· τοῖσιν μελιηδέα καρπὸν
Τρὶς τοῦ ἔτους θάλλοντα φέρει ζείδωρος ἄρουρα.

Μήκετ' ἔπειτ' ὄφελον ἐγὼ πέμπτοισι μετεῖναι
Ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν, ἢ ἔπειτα γενέσθαι!

Alios vero & in navibus ſuper magnum fluctum maris
Ad Troiam ducens, Helenæ gratia pulchricomæ:
Vbi quidem ipſos mortis quoque finis adobruit.
Iis autem ſeorſim ab hominibus victum & ſedem tribuens
Iupiter Saturnius pater conſtituit ad terræ fines.
Et hi quidem habitant ſecurum animum habentes
In beatorum inſulis, iuxta Oceanum profundum,
Felices heroes: his dulcem fructum
Ter quotannis florentem profert fœcunda tellus.
O ſi nequeam quinto ego intereſſem
Hominũ generi: ſed aut mortuus eſſem prius, aut poſtea natus!

ΜΟΣΧΟΠΟΥΛΟΥ.

Δεύτερον αὖτε γένος πολὺ χειρότερον.] ὅτι ἀπαρεθμήτως τὸ δεύτερον, συγκειτικόν ὅτι συγκειτικῶς, τὸ χειρότερον ἢ τὸ χεῖρον συγκειτικόν. ὅτι δὲ τὸ τοιοῦτον ἐδέησέ τε χρῆσθαι φησὶ πῆς κοινοῖς. πολὺ χειρότερον, αὐτὶ τοῦ πολὺ ἧττον τιμῶ ἀρετῶν· ἢ γὰρ κακὸν ἴσως τὸ χεῖρον, ἵν' ᾖ τοῦτο χεῖρον. τὸ ἑξῆς δῆλον. Χρυσέῳ μὲν φυὴν ἐποίησαν.] τῷ χρυσῷ γένει ὅτι χρῆται τῷ ἀναδρομῇ τῷ σώματος ὁμοίῳ, ἐπὶ χρῆται τῷ γνωμῇ. Αλλ' ἑκατὸν μὲν ἔτη.] ἦγουν πολλὰ ἐτέρφετο παῖς, ἦγουν διητᾶτο παρὰ τῇ ἑαυτοῦ μητρὶ τῇ ἀγαθῇ ἀπάλλων.] τοῦτέστι μετ' ὀλιγωρίας τρεφόμενος καὶ ὡς αὐτὸς παίζων, ἐν τῷ ζωτέρῳ οἴκῳ. μέγα νήπιος.] ἦγουν μεγάλως ἀμαθὴς καὶ αὐόητος. ἀλλ' ὅταν ἥβαιτο καὶ εἰς μέζονα ἡλικίης ἀφίκοιτο, ὀλιγοχρόνιον χρόνον, ἦγουν πάνυ ὀλίγον ἔζων. ἄλγε' ἔχοντες.] ἦγουν λύπας, διὰ τὰς ἑαυτῶν ἀφροσύνας ἀπὸ τῆς μανίας ἀποτίνοντες εἰς τὸ καθόλου· τοῦτο δὲ ζωπόησις καὶ ὄφελε τοῖς κοινοῖς· οὐκ ἐδύναντο γὰρ ἀλλήλων ἀπέχειν, ἦγουν μάχεσθαι ἔχειν χαλεπαγωγεῖν ἀπ' ἀλλήλων. ὕβριν ἀτάσθαλον.] ἤγουν ἀθέμιτον, παράνομον. ἀτάσθαλοι γὰρ οἱ εἰς θεὸν ὑξαμαρτάνοντες. καὶ ἀτάσθαλον ἔργον δηλοῖ ὅτι τὸ ἀθέμιτον καὶ παράνομον· ἐδὲ θεὺς ἤθελον πιᾶν, οὐδὲ θύειν ἐπὶ τοῖς ἱεροῖς βωμοῖς τῷ μακάρων, ἦγουν τῷ θεῶν, καθὰ πρέπον ὅτι τοῖς ἀνθρώποις κατ' ἔθος. Τούτους μὲν δὴ ὁ Ζεὺς ὁ υἱὸς τοῦ Κρόνου ἠφάνισεν ὀργιζόμενος. τοῦτο γὰρ τὸ ἔκρυψε χολούμενος, ὅτι οὐκ ἐδίδουν τοῖς θεοῖς τιμὰς, οἳ τὸν ὄλεθρον οἰκοῦσιν. ἐπειδὴ ἢ καὶ τοῦτο τὸ γένος κατεκάλυψεν ἡ γῆ, ἀντὶ τοῦ τὰ σώματα αὐτῶν ἀποθανόντων, ἔτοι μὲν ἀντὶ τοῦ αἱ ψυχαὶ τούτων, καλοῦνται ὑποχθόνιοι μάκαρες θνητοί. Δεύτεροι.] ἤγουν ἀπολειπόμενοι τῆς τῶν πρώτων γένους τάξεως, ἀλλ' ὅμως τιμὴ ἀκολουθεῖ καὶ τούτοις. Ζεὺς ὁ πατήρ.] ὁ ζεὺς ὁ πατὴρ τῆς ἀνθρώπων καὶ τῶν θεῶν ἐποίησεν ἄλλο γένος ἀνθρώπων τρίτον, χάλκειον, ἦγουν χαλκοῦν, οὐχ ὅμοιον ὐδαμῶς τῷ ἀργύρῳ.

Ἐκ μελιῶν.] ἤγουν ὁκ τῆς μελιῶν τῆς δένδρων τοῦτό, φησιν, ἐποίησεν, ἃ στερεὰ καὶ δύσκαπά ὄζει, ἀντὶ τοῦ σκληρὸν καὶ ἀπάνθρωπον. δεινόν τε καὶ ὄμβριμον.] ἤγουν χαλεπὸν καὶ φοβερόν· διὰ φροντίδα γὰρ ἐμοῦ τούτοις τὰ ἔργα τοῦ Ἄρεως ἤγουν τοῦ πολέμου, τὰ συνόντα, ἤγουν τὰ στεναγμῶν αἴτια καὶ ὕβρεις, ὅτι ἐδὲ σῖτον ἤσθιον, ἤγουν ἀνθρωπίνῃ ζωῇ. ἀπὸ τῆς διαίτης γὰρ τὴν γνώμην ἐμφαίνει. ὡς οἱ ἔλεγε, οὐδὲ ἀνθρωπίνην εἶχον γνώμην, ἤγουν ἥμερον, ἔξω θεοσεβείας, ὡς ὁ ἐπάγει οἰκείως. ἀλλὰ ψυχὴν εἶχον ὑπὸ ἀδάμαντος, τοῦτέστιν ἀδαμαντίνην. κρατερόφρονα.] ἤγουν ζηλοτυπούμενα. Ἄπλαστον.] τοῦτέστιν ἀπλήρωτοι· μεγάλοι τὰ σώματα· τὴν ῥώμην γὰρ ἔσχον τῆς σωμάτων καὶ τὴν ἐπιμέλειαν. μεγάλη γὰρ βία καὶ ἰσχὺς ἦν δηλονότι αὐτοῖς. καὶ χεῖρες ἄαπτοι.] ἤγουν ἄφαυστοι διὰ τὸ φοβερὸν δηλονότι καὶ ἰσχυρὸν, ἐξ ὤμων ἐξετείνοντο ἐπὶ συγκεχυσμένοις καὶ ὄγκον ἔχουσι μέλεσιν.

μέλεσιν. ἀπὸ τ῀ φέφυκα φ῀ φανημένε, ἐνεσὼς πεφύκω, οἷς ἀπὸ τ῀ δέδοικα δεδοίκω. τύτοις ϗ ἦν χαλκᾶ μὲ τὰ τεύχη, ἦγεν τὰ ὅπλα. χαλκοῖ δὲ τ῀ οἶκοι. ἀντὶ τ῀ τὰ ἐν τῷ οἴκῳ ϛκάπ. τὸ ἦν ἀντὶ τ῀ ἦς, οἷς φ῀ Σοφοκλεῖ· Ἦν ϗ ἀμφὶ πλευταὶ κλίμακες. καὶ ἀπὸ τύτε γίνε϶ χ῀ συγκοπὴ τῆς σᾶ συλλαβῆς. διὰ τὸ χαλκᾶ ϗ τὰ χαλκᾶ ἔργα ἐργάζοντο, διά π῝ βαφῆς στερροποιῦντες αὐτόν. μέλας ϗ σίδηρ῝ ὡς ἔσχεν, ἦγεν ὡς ἦν. κ῀ ἔτι μὲν δαμασθέντες, τετέσι φονευθέντες ὑπὸ ταῖς ϛρατιέρσις αὐτὶ τ῀ ταῖς ἀλλήλων χερσίν. ἡ δ῀ πκὴ ϗ μ῀ τῆς ὑπό, τὶ ὑποταγὴ δηλοῖ κ῀ ἥπιαν Α῎πικῶς· ἔδησαν εἰς τὸν οἶκον τ῀ ψυχοποιὸν ἅδην τὸν δ῎ρώσαντα, ἦγεν τὸν σκοτεινόν, ἢ τὸν πλατύν, ἀνώνυμον. θάνατ῝ ϗ κατέχε αὐτὺς μέλας, αὐτὶ τ῀ σκότε πυκνὸς. καὶ ϖρ ὄντας ϵκπαγλους. χ῀ μετάθεσιν τῦ λ᾽ ἀπὸ τῦ ἐξεπλάγλω, ἦγεν ϵκπληκτικύς. τὸ λαμπρὸν ϗ ἔλιπον φῶς τῦ ἡλίε. Ε῎πειδὴ ϗ κ῀ τῦτο τὸ χρό῝ κατεκάλυψεν ἡ γῆ, αὖθις ἔπ ἄλλο τέταρτον, ἦγεν ὅτι τέτυις πάλιν ἄλλο τέταρτον χρό῝, θείων ἀνδρῶν ἡρώων, δίκαιον κ῀ καλὸν, ὁ Ζεὺς ὁ Κρονίδης ἐποίησεν ὅτι τῇ χθονὶ τῇ πολυνιδεῖς ζωὰς ἀρημένῃ, οἱ καλοῦνται ἡμίθεοι. ϖρὸς τὸ σημαινόμενον ὑποδέδωκε. τῇ ϖρωτέρᾳ ἡμῶν χρυσᾷ γενόντες χ῀ τιμὴ ἄπτερον γυῖ, ἦγεν τιμὴ κυκλοτερῆ. καὶ τύτοις μὲ πόλεμός τε κακὸς κ῀ μάχη χαλεπὴ ὤλεσε. τὺς μὲν ἐπὶ ταῖς ἑπταπύλαις Θήβαις, τῇ γῇ λέγω τῇ ϗ Κάδμε. μαχομένυς ἕνεκα βῶν μήλων τῦ Οἰδίπ῝, αὐτὶ τῦ τῆς κτήσεως, ἀπὸ ϗ πλείον῝. οἱ παλαιοὶ γάρ φασι τιμὴ κτῆσιν ἐν τοῖς τετράποσιν εἶχον. τὺς ϗ, κ῀ εἰς Τροίαν ἀγαγὼν ἐν ναυσὶν, ἐπὶ τὸ μεγάλε κύματ῝ ὀλλάσσης, ἕνεκα τῆς Ἑλένης τῆς καλλίπεπλ῝, ὤλεσε· ὁ πόλεμ῝ δηλονότι ἀπὸ κοινῦ. ἐνταῦθα δὴ, ἦγεν ἐν, τῇ Τροίᾳ κ῀ ταῖς Θήβαις. τὸ ἤτοι ἐνταῦθα αὐτὶ τῦ δὴ. τύτοις μὲν τὸ τῦ θανάτε τέλ῝ ϖερικάλυψεν. ὁ Ζεὺς ϗ ὁ Κρονίδης ὁ πατὴρ βῶν ἀνδρῶν κ῀ βῶν θεῶν, ζωὴν κ῀ διατροφὰς τύτοις ϖαρασχὼν ἰδίᾳ ἀπὸ βῶν ἀνθρώπων, εἰς τὰ πέρατα τῆς γῆς φέρων ᾤκισε. κ῀ ἔτι μὲν οἰκοῦσιν ἐν ταῖς νήσοις βῶν μακάρων, κ῀ τὸν Ὠκεανὸν τὸν βαθύῤῥοον, ψυχὴν ἔχοντες φροντίδων ἀπολλαγμένων. ὄλβιοι ὄντες ἥρωες· ἦγεν μακάριοι, τύτων ϗ χάριν φύει ἡ γῆ ἡ τὰ ϖρὸς ζωὴν βρύκ-

μένη, καρπὸν μελιηδέα, ἦγεν γλυκύν, θάλλοντα πρὸς ἐπὶ τῷ ἔτει. Μηκέτ᾽ ἔπειτ᾽ ὤφελον.] εἴθε μὴ ἐχρεώσουν ἐγὼ ἐν τοῖς τῦ πέμπτε γένες ἀνδράσιν εἶν). ἀντὶ τ῀, εἴθε μὴ ϗποκείμενον ἦν, ἐμὲ ἐν τοῖς τῆς πέμπτης τάξεως ἀνδράσιν εἶν). τὸ ἔπειτα θεῖον. ἡ ϗ μετὰ, ἀντὶ τ῀ τῆς εἶ. ἀλλ᾽ ἢ ϖρόφθην, ἀλλ᾽ ἢ ϖρότερον τύτων ἀποθανεῖν, ἢ ἔπειτα γένεσθαι. ὡς δίθυς φησι μ῀ τὺς πέμπτους. τὺς γὰρ μ῀ τύτυς δίθυς, χείρονας ἔσεσθαι τύτων νομίζει, ἀλλ᾽ ἁπλῶς ἐν ταῖς ἔπειτα ϖροῤῥήσεσι. ἐφ᾽ αἷς ὡς ἀπαγορεύει μὴ κ῀ μεταβολὴν ἐπὶ τὸ χρεῖττον ποτὲ γένεσθαι, οἷς ἀπὸ τ῀ πρίτυ γένες τῦ χαλκᾶ κ῀ θρασέ῝, ἐπὶ τὸ τῦ Η῎ρώων ἐγένετο.

ΠΡΟΚΛΟΥ.

Δεύτερον αὖτε γέν῝.] ὁ μὲν Ὀρφεὺς τ῀ ἀργυρᾶ γένες βασιλεύειν φησὶ τὸν Κρόνον, τὺς κ῀ τὸν καθαρὸν λόγον ζῶντας ἀργυρᾶς λέγων, ὥσϖερ τὺς κ῀ νῦν μόνον χρυσᾶς. ὁ ϗ Η῎σίοδ῝ ἐθέλων τιμὴ μεταβολὴν ἐνδείξασθαι τῆς ἀνθρωπίνης ζωῆς ϖρὸ ἀργυρᾶν γέν῝ τῦ ἀνθρώπων ποιεῖ ϛάδιον· ϖλὴν χεῖρον μὲν τὸ ἀργυρᾶν γέν῝ εἶναί φησι τ῀ χρυσᾶ, ὐκ εἰς ἄκρον ϗ κακίαν ὀλισθῆσαν, ἀλλ᾽ εἰς ἀργίαν κ῀ φυσικὴν ζωὴν ἀντὶ νοερᾶς. ὅπ ϗ ἀργυρ῝ ἰῦ δικτικός, ὃς κ῀ διίσησιν ἔξω τεμνόμεν῝ ὑπὸ τῦ ὑγρῶν τιμὴ ὑγρότητα κ῀ ψυχρότητα ϖαντὸς μᾶλλον καρέμε κ῀ χαλκᾶ, δῆλον. ψυχὴ γὰρ τὸ ὕδωρ ἐν αὐτῷ ῥαδίως κ῀ θερμαίνε϶ ϖεϖηγμένων ψυχρῶν ἢ θερμῶν, ὥστε διὰ τ῀ ϖόρων τύτων κ῀ ἰὸν ἐνδέχεσθαι, τ῀ χρυσᾶ ϖυκνοτάτε ὄντ῝. ϖολὺ χειρότερον.] ὐχ ὅτι ἐκεῖνο κακὸν ἦν, ἀλλ᾽ ὐχ ὅμοιον τῷ χρυσῷ. τὸ ϗ ϖολὺ χειρότερον, ὅτι συγκεκριτικὸν συγκεκριτικὸ αὐτὸ γὰρ τὸ χεῖρον συγκριτικόν. ὡς εἶπε λωίτερον. αὐτὸ γὰρ τὸ λῶον συγκεκριτικόν ὅτι τὸ δ᾽ ἀργύρεον ἔνιοι τῇ γῇ ἀκύρυσι, λέγοντες, ὅτι ἐν τοῖς μεγάλοις ἔργοις τὸ ἀργύρεον τ῀ γῆς ψευδολογεῖ. Ἀλλ᾽ ἑκατὸν μὲ παῖς.] ὀρθῶς τ῀ κακὸ βίᾳ τιμὴ ἀρχικὸ ἐν τῇ μοχθηρᾷ τάξε϶ ζῴῃ. τοιαύτη ϗ ἡ ϖολιὸ χρόνον ἐν τῇ γυναικονίτιδι ψομένη. κ῀ γὰρ Πλάτων τ῀ Πρδικὸν τιν῝ τῦτο κατέγνω βασιλέων. τὸν μὲν ἑκατὸν τ῝ ϖολιὸ χρόνον ἐπὶ τοῖς γυναιξὶ τρέφεσθαι εἰκότως ἂν ἀποδείκνυσιν τὸν. ὅτι ϖροφύμως μέγα ῥύπον, ὡς ἀμαθῆ ϖάντων. ὃν δεῖ ϖαραλιπεῖν τὰ ἀνθρώπινα ϗ

ἀνδρικὸν καὶ γενναῖα τὰ ἤθη. Ἀλλ' ἑκατὸν μὲν.] πάνυ φιλοσόφως ἀρχὴν φαύλου βίου καὶ κακοδαίμονος τὴν αὐταρκείαν ὑποτιθεὶς καὶ γὰρ ὁ Πλάτων ἔφη Κύρον καὶ Δαρεῖον στρατιωτικοῖς ἔθνεσι παιδευθέντας, ἄνδρας ἀγαθοὺς γενέσθαι τοὺς δὲ παῖδας αὐτῶν ἀχολυμένους ἐν γυναιξὶ νοσώδεσι καὶ τρυφώσαις διαφθαρῆναι. Ἄλλως. χρὴ ζύγχριον. ἔστω ὁ μὲν ϛ' ἑλάττους ἔζων. τὸ δὲ ἑκατὸν οὐκ ὀπὶ ὠρισμένου χρόνου, ἀλλ' ὅτι πλήθους ἐστὶ καὶ ἀόριστον αὐτὸ τὸ πολλά. ἀπάλλων.] ὁ μετ' ὀλιγωρίας τρεφόμενος, καὶ ὡς αὖ νηπιάζων ἀτημόρων, ὁ μηδὲ καρπεῖν δυνάμενος, ἔθνη καὶ τὸ, τέτλαθι. Παυείδιον ζώεσκον.] εἰ πολλῷ χρόνῳ ἐτρέφοντο, ὀλίγον δὲ ἔζων καὶ ἤκμαζον, πῶς οἱ τρέφοντες αὐτὸς διέζων; ἴσως δὲν πρὸς ἀπολογίαν τῆς ἀνοίας. τὸ δὲ παυείδιον ζώσκον, ὡς πρὸς ζύγχριον τὸ ἑκατὸν ἐτῶν. ὕβριν γὰρ.] ταῦτα ἐπάμενα ὅτι τὴν ῥαθύμοις ζωαῖς τὴν ἀνθρώπων, διὰ μεγαλαυχίαν ὑβριζείζειν, καὶ μήτε τὴν εἰς ἀλλήλους ὕβριν ἀπεχθείας, μήτε τὴν εἰς τοὺς θεοὺς τιμὴν αὐτὲς χάριν ζῆν δὲ ὁμοίως φυτοῖς πίπτοντας καὶ ἐνθύοντας. ὅτω ζήσαντες Συβαρῖται καὶ Κολοφώνιοι πρότερον ἀπώλοντο, Πρασῶν δὲ καὶ Μήδων ἥψατο τὸ πάθος. Τοὶ μὲν ὑπὸ χθόνιοι.] οἱ μὲν πρὸ τούτων ὑπὸ χθόνιοι ἦσαν χρὴ τὸν λῆξιν καὶ ἀγαθῶν χθονοὶ καὶ φύλακες τὴν θνητῶν, ὅτοι δὲ θνητοὶ φύλακες καὶ ὑπὸ χθόνιοι λέγονται, ὡς ἐν τοῖς ὑπὸ τὸν γῆν ταφέντες τόποις, διότι φυσικὸν εἶχον ζῆλον, ἀντὶ νοερᾶς. εἰκότως τοῖς φυτοῖς τοῖς τὰς καρδίας ὑπὸ γῆν ἔχουσιν εἰκότως ἦν ὑπὸ χθόνιοι, θνητοὶ δὲ φύλακες, ὡς ζῶντες καὶ τὸ θνητὸν ἑαυτῶν· τοιαύτη γὰρ ἡ φυσικὴ ζωή. τίνων δὲ φύλακες; ἢ ὅλως οὐ ψυχῶν, αἳ πρὶν ἐν σώμασι τοῖς τοιοῖσδε διαπεφεύγεσιν ὑπὲρ φυσικῶς ζῆσαι, ἀλλ' εἰς πᾶσαν ὀλισθήσασαι κακίαν· διὸ καὶ τούτων ἐπεστάθησε, ὅπως καὶ αὐτοῖς τιμὴ τῆς ὑπηδείᾳ, καθόσον ἡ μεγάλα ἐξεργάσαντο κακά, εἶα τὴν ἐφεξῆς τόποις. τρίτον ἄλλο ἦμαρ.] τοῦτο τὸ ἦμαρ εἰκότως τρίτον, ὅτι νωθρὸν ὄν, ὅτι παντὸς ἔργου. ἀλλὰ δεινὸν ὄντως καὶ εἰς πυρφυρέαν ἀμαυρὰς εἶαν σκιαχτίσαι, καὶ φοινίαν τὴν πυρμάτων μόνων ἐπιμελούμενον. διό φησιν,

Ἄπλασοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι·

Ἐξ ὤμων ἐπέφυκον —— δηλοῖ γὰρ, ὅτι ἔπεμπτον ἦ ῥώμην ἴσχυσι καὶ ἐν τούτῳ πρὸ ἦμαρ τὰ ἄλλων ἀμελοῦντες θεοὶ τὸ ὅπλων κατασκευὴν διέτειναν, καὶ τῷ χαλκῷ θεὸν τούτῳ ἐχρῶντο, ὡς τῇ σιδήρῳ θεὸς γεωργίαν, διὰ τὴν βαφῆς τὸν χαλκὸν στερροποιοῦντες, ὄντα φύσει μαλακὸν, ἐπιστάσης δὲ τῆς βαφῆς ὅτι τοῦ σιδήρου καὶ ἐν τοῖς πολέμοις χρῆσιν ἐλθεῖν. Τοῦτο δὲ τὸ χαλκεῖν ἦμαρ ἐν μελίαις εἶπε φῦσαι Δωρικῶς, αὐτὶ τοῦ ἐν τῇ μιᾷ τῶν δένδρων, ἐκ τῶν Μελιῶν Νυμφῶν. καὶ γὰρ Μελίας Νύμφας φασίν. ἄτοπον δὲ τὸ ἐκ τοῦ θείου γένους ὄντας θηριώδεις φῦσαι, ἀλλ' ὡς ἐκ δένδρων στερεῶν καὶ δυσπόνων γεγονότας, τά τε σώματα μεγάλους ἐχόντας, καὶ τὰ ἤθη ἀτρέμονας καὶ βιαίους· τοῦτο γὰρ αἰνίττεται ἡ ἐκ τῆς μιᾶς τῶν Μελιῶν αὐτοῖς γένεσις. Ἐκ μιᾶς.] Νυμφῶν, Δωρικῶς Μελιῶν εἶπεν, ὅτι ἐκ τῆς ἐξ γόνων δὲ ἀρχαῖ τινες δὲ ἀλληγορῶσι μιᾶς τὰς φρυντίδας. ἄλλως. ἀπὸ ξύλου τινὸς ἀρόητον γένος λέγει καὶ ἀσώστον, ὅ τοι φησὶν, ἐκ ἐν γένος θεῶν. ἐδέτι σῖτον.] ἀλληλοφαγίαν ἴσως ἐνόησεν, ἅγνου θείων κρέας ἤδιον. παρέλιπε γὰρ τὸ εἰπεῖν τί ἥδιον· ἀδάμας δέ ὄζιν εἶδος σκληρᾶς λίθου σίδηρον τέμνοντος. Καὶ τοὶ μὲν χείρεσσιν.] αὐτοὶ παρ' ἑαυτῶν κατέῤῥαδαν, ὡς δύσμικτοι καὶ θηριώδεις ὄντες, οὓς ἀλληλοφορουμένους, καὶ εἰκότως εἰς τὸν ὑπὸ χθόνιον τάφον καταδυομένους, ἐν ᾧ τὸ ἄτακτον ζωέωσαν τοῦ κόσμου, καὶ τὸ θηριώδες τῶν δαιμόνων γένος, ὃς κἀμὲ εἴωθε τὰ λόγια καλεῖν. εἰσὶ μὲν ἵν' ὅτε τρίτοι τινὲς εἰκότως ἀπὸ τῆς χρυσοῦ· ἐνεῖνοι. μὲ γὰρ ἀπαθεῖς, οἱ δὲ μετ' αὐτοὺς ὅτε ἀπαθεῖς, ἄτε ἐμπαθεῖς, εἰ καὶ πλουτοῦντες, ἐξύβριζον διὰ τὴν ἀπειρίαν τῆς ἀνεργκαίων. ἔτοι δὲ κ' μόνον ὑβρεσαὶ, ἀλλὰ καὶ φονικοὶ καὶ ἐμπαθεῖς, καὶ εἰς ἑκάτερα ἐλθόντες εὐσχημοσύνην, ὥστε ἐν τῇ πεκάδι ἀφειλῆφθαι, ἢ ἀνθρωπίνην ζωὴν, τὴν χρυσῆν, τὴν ἀργυρᾶν, τὴν χαλκῆν· καὶ γὰρ τούτων ἡ τάξις τῆς ὑλῶν τοιαύτη ὄζιν· ὁ μὲν χρυσὸς ἡλιοειδὴς, διότι φῶς μόνον ὁ ἥλιος ἄυλον· ὁ δὲ ἄργυρος σεληνιακὸς· διότι καὶ ἡ σελήνη σκιᾶς δεκτικὴ, καθάπερ καὶ ἄργυρος, ἰῶ. ὁ δὲ χαλκὸς χθόνιος, καθόσον ἐκ ἔχων ὁμοίως τὴν φωτεινὴν, πολλῆς ὄζιν ἀναπλέως ζοφώσεως. ἔτ' ἄλλο τέταρτον.] τὸ μὲν τρίτον ἦμαρ ἐξέλιπε διὰ τὸ καταχλυσμὸν φῦσαι μὴ τὸν καταχλυσμὸν, ἦμαρ ἐπῆλθεν εἰς τὸν βίον, ἴσχυν, τὰ τὴν ἡμιθέων μέχρι ἐσχατιᾶς τοῦ Τρωϊκοῦ, ὅπου ἐπὰ ἡ καὶ

αὐτὸ γηγενέας· ἢ γὰρ Εὐρυμήδου ὁ στρατεύσας ἐπὶ Τροίαν, υἱὸς ἦν Ἀδράστου, αὐτὸς δὲ Φέρητος, υἱοῦ δὲ Κρηθέως, ὁ δὲ Αἰόλος, ὁ δὲ τοῦ Ἕλληνος, υἱὸς δὲ Δευκαλίωνος· ἢ Γλαῦκος τοῦ Ἱππολόχου, τοῦ Βελλεροφόντου, τοῦ Γλαύκου, τοῦ Σισύφου, τοῦ Αἰόλου, τοῦ Ἕλληνος, τοῦ Δευκαλίωνος· ὁ δὲ Γλαῦκος, ὀγδοος. τὸ τοίνυν Ἡρωϊκὸν γένος ἄχρι τοσούτου διήρκεσεν ἀρετὴ διαφυλάξαν. ἄλλως. ἔτ' ἄλλο τέταρτον, τουτέστι τὸ ἀπὸ Πανδώρας γένος, ἥτις ἐν τῷ χρόνῳ τοῦ Αἰσχύλου, Τοῦ πλοπλάστου σπέρματος θνητὴ γυνή, ὡς φησὶ τὰ ἄλλα γυνὴ ἀπὸ τοῦ θεοὶ αὐτὰ ὕλης σκάλεσαν, χρυσοῦν καὶ ἀργυροῦν, οὕτω καὶ τοῦτο ἀπὸ τῆς γῆς ὂν ἡρωϊκόν. ἔρα γὰρ ἡ γῆ, καὶ πεῖρα τῶν χαίροντας θερείρηκε ὅτι ὁ Ζεὺς ἐκέλευσεν Ἥφαιστον φεῖλυτον ὕδατι φύρειν. ἐπλάσθη δὴ τοίνυν πρώτη ἡ Πανδώρα, ἣν ἔγημεν Ἐπιμηθεύς, ἐξ ὧν Δευκαλίων. καὶ Πύρρα. ἀλόγως δὲ λέγουσιν ὅτι Προμηθεὺς ἀνθρώποις ἔπλασεν, ὃς τοσοῦτον ἀπόδειται τοῦ μὴ πεπλανῆσθαι, ὥστε καὶ θεοσεβέστατος ἐγένετο Ἐπιμηθεῦ μὴν θεοσεβὴς ἦν Πανδώρα. Πανδώρας γοῦν καὶ Ἐπιμηθέως γίνεται Δευκαλίων, καὶ Πύρρα Δευκαλίωνος δὲ Ἕλληνος, τούτου Αἰόλος, ἑ Κισθὸς, ἑ Φέρης, ἑ Ἄδμητος, ἑ Εὐρυμήδης ὁ ἐπὶ Τροῖαν στρατεύσας· διὰ δὲ τὸ ἀληθὲς, πρεσβύτερον τὸ ἡμέτερον, ἵνα μὴ ἔγκλημα φύσεως ἐπὶ τὸ χεῖρον βεβαιώσῃς λέγῃ τὸ δὲ δικαιότερον, αὐτὶ τοῦ δίκαιον· καὶ ἔδωκε σύγκρισιν πρὸς ἕτερον. τὸ δὲ ἄρειον, ἢ βέλτιον, ἢ πολεμικόν. καλέουσι δὲ Ἡμίθεοι.] Ἥρωας μὲν αὐτὸς ἐκάλεσεν, ἢ ὡς ἐκ τοῦ ἔρως ὡς εἴρη, ἢ ὡς ἐξ ἔρωτος γεγονότας, ἢ θεῶν ἐρασθέντων γυναικῶν, ἢ θνητῶν ἐρασθέντων ἀνδρῶν· ἡμιθέους δὲ, ὡς τοὺς μὲν ἔχοντας θεῖον, τὸ δὲ ἀνθρωπικὸν κατὰ τὴν ἡλικίαν· ὡς φησὶν ἔν ὅτι θεῶν μόνων τὸ ἐξ ἀμφοτέρων θεῶν, καὶ ἀνθρώπων τὸ ἐξ ἀμφοτέρων ἀνθρώπων, ὅτω δὴ καὶ τὸ σύμμικτον ἔκ τε θεῶν καὶ ἀνθρώπων, ἡμίθεον λέγει. αὐτὴν δὲ ταύτην τὴν ἐν τῇ ἡλικίᾳ διαφορὰν ἀναφέρειν δεῖ πρὸς τὸ εἶδος τῆς ζωῆς· ὅσοι μὲν γὰρ κατὰ τὴν ἀνάλογον ζωὴν μᾶλλον διέφερον, τούτους ἐκ πατρὸς μὲν θεὸς, μητρὸς δὲ ἀνθρώπου παρέδωκε. ὅσοι δὲ κατὰ τὴν τεχνικὴν ἀρετὴν, τούτους ἀναπαλιν ἐκ θεαίνης μὲν μητρὸς, πατρὸς δὲ ἀνθρώπου. καὶ γὰρ ἄμφω μὲν θεῖα, καὶ τὸ ἀνάλογον καὶ τὸ τεχνικόν· ἀλλὰ τὸ μὲν, ἀρρενωπόν, ὡς ἐρρωμενέστερον ὂν ζωῆς, τὸ δὲ θηλυπρεπὲς, ὡς ὑφειμένον κατὰ τὴν δύναμιν, καὶ ὡς τὸ μὲν ἀπαθέστερον, τὸ δὲ συμπαθέστερον πρὸς θνητούς. Τηλοῦ δὲ ἀθανάτων τοῖσι Κρόνος ἐμβασίλευε. θοὸν καὶ τὸν ἑξῆς ὡς φλυαροῦσι, ἐξαπίζουσι τῶν Ἡσιόδου, τάττε ἄλλα φαυλίζοντες, καὶ τὸ ἐνθουσιαστικὸν τῆς εἰσβολῆς τῶν μετ' αὐτὸν σίγων ἀφαιρεῖν εἰωθότες. ὡς γὰρ ὑποβλέψας εἰς τὸ κατ' αὐτὸν τῶν ἀνθρώπων γένος μὴ τὴν ἐξόμμυσιν τῆς τῶν ἡμιθέων λήξεως, ἐπάγει.

Μηκέτ' ἔπειτ' ὄφελον ἐγὼ πέμπτοισι μετεῖναι· [νέοις!

Ἀνθρώπων, ἀλλ' ἢ τοῖσδε θανεῖν, ἢ ἔπειτα γενέσθαι· ὧν ἐκ μόνον ὅλοι τὸ ἀπὸ τῶν χρειττόνων εἰς τὸ χεῖρον εἶδος τῆς ζωῆς μεταβολὴν, ἀλλὰ καὶ ἀνάπαλιν ἔσεσθε ἀπὸ τῶν χειρόνων εἰς τὸ κρεῖττον. τὸ γὰρ ἢ ἔπειτα γηγενέσι εὐχαῖς ὅλοι καὶ ἀμείνους ἔσεσθαί τινας τὸ κατ' αὐτὸν ἀνθρώπων ὕστερον· ὥστε καὶ ἐκ τούτου δῆλον, ὅτι τὰς μεταβολὰς ἠθέλησε παραδοῦναι τὸ εἰδὸς τῆς ἀνθρωπίνης ζωῆς, εἰς ταὐναντία μενούσας. Καὶ τοὺς μὲν πολεμοῦντες.] τοὺς δὲ Τυδέα καὶ Καπανέα καὶ λοιποὺς ἑπτὰ λοχαγοὺς, οἳ καλοῦσι ἡμίθεοι κατὰ σύγκρισιν θεοὺς ἡμᾶς, ὑστέρους ὄντας ἐκείνων. Ὄλεσε, καὶ ἡμιθέων γένος ἀνδρῶν. θεοτέρη δὲ, ἤτοι θεοτέρων ἀνθρώπων. μᾶλλον ἔνεκα Οἰδιπόδου.] διὰ τὸ μᾶλλον πᾶσαν ὅλοι τὴν κτῆσιν, διὰ τοῦτο οἱ τοῦ Οἰδίποδος παῖδες καὶ πόλεμον ἤρξαντο θεοὺς ἀλλήλους, καὶ συναπέθανον ἀλλήλοις, καὶ μιᾷ πυρᾷ παρεδόθησαν. ἄλλως. οἱ γὰρ παλαιοὶ ἐν τοῖς πρόσθεν τὴν κτῆσιν εἶχον, ἀμέλει καὶ οἱ βασιλέων παῖδες ἀπῄμαυον πρὸ τοῦ γάμου, καὶ ταῖς νύμφαις προέβαλλε καὶ βόας ἐχαρίζοντο· ὅθεν καὶ ἑλφεσίβοιαι. Εἰς Τροίαν ἀγαγών.] κατ' ἐξοχὴν λέγει τὸν δὺο πολέμους τὸν Θηβαϊκὸν καὶ τὸν Ἰλιακόν. Τοῖς δὲ δίχ' ἀνθρώποιν.] ὡς τῆς ὅλης Ἡρώων λήξεως ὁ λόγος, καὶ ὅτι καὶ βίον καὶ πόνους οἰκείους, οὓς ἐκάλεσεν ἄνδρ, χρεὼν τοῖς ἀνθρώποις ἀπένειμεν αὐτοῖς ὁ Ζεὺς ἐν τοῖς πέρασι τῆς γῆς. ἄλλως. ἀπεχώρισεν αὐτοὺς ἀπὸ ἀνθρώπων, καὶ ἔδωκεν αὐτοῖς ἴδιον τόπον καὶ ζωὴν, καὶ ζῶσιν ἀδιαβεῖς, πέραν τοῦ Ὠκεανοῦ, τὰς διατεβὰς πρείσας, ὅ ἐστι Φλεγέθων. παρ' Ὠκεανὸν.] ἔνθα κατοικοῦσιν. αὐτοῖς δὲ μελισσέα καρπὸν τρὶς τοῦ ἔτους φέρειν λέγει τὸν γλυκὺν. ὅλοι οὖν τὸ αἴνιγμα λύσιν μὲ αὐτὸς

αὐτὸς ἔχειν δευτέραν τῆς ἐν τῇ γῇσει ζωῆς, καὶ διὰ τοῦτο λέγειν τὸ μακάρων νήσους οἰκεῖν. ἐς αἷ δ' δαίμονες εἰλήχασι ψυχαί, νήσοις εἰκασμένας, ὡς ὑπερέχουσα τὸ γλυκύτατον, καθάπερ αἱ νῆσοι τῆς θαλάσσης. παρ' Ὁμήρου δ' οἰκεῖν λέγειν τὸ διοικοῦντα τὸν νοητὸν τόπον, ἀπὸ τοῦ τῶν ᾅδου βασιλείας, ὃν καὶ πρῶτον περαιοῦσι τὰς εἰς ᾅδου πορευομένας φέρειν δ' αὐτὰς τοῖς τῷ γλυκεῖ τοῦτο καρπόν, ὡς πλείων ἀγαθῶν ἀπολαύσει τὸ ζῷον μοτάτων, ἐκ τοῦ ζωοδότου δυνάμεων τὸ ὑπὸ τὸ γῆς. διὰ δὲ τοῦτο καὶ ὑγρὰ ἁπλῶς εἶπε τὸ γλυκὺ φέρειν τὰς καρπὰς τοῖς, ἀλλὰ τὸ ζειδώρον ἄρουραν. ἄλλως. μακάρων νήσοις νῦν τὸν Παράδεισον αἰνίττεται, ὅπου τὸ παρ' αὐτοῖς Ἠλύσιον πεδίον λεγόμενον, παρὰ τὰ ἄλυπα πρεῖν τὰ σώματα, ἢ παρὰ τὸ λύειν τοὺς κακούς. Μηκέτ' ἔτι ὤφελον.] μὴ τῷ ἐξύμπασιν τοῖς τῆς ἡμιθέων λήξεως ἐπάγει, Μηκέτ' ἔπειτ' ὤφελον ἐγώ. δι' οὗ ἐ μόνον δηλοῖ τῷ ἀπὸ τοῦ χρειττόνων εἰς τὸ χεῖρον εἶδος τῆς ζωῆς μεταβολῇ, ἀλλὰ καὶ ἀνάπαλιν ἔσεσθαι ἀπὸ χειρόνων εἰς τὸ κρεῖττον. τὸ δὲ ἢ ἔπειτα ψευδῶς ἔυχεται, δηλοῖ καὶ ἀμείνους ἔσεσθαί τινας τοὺς κατ' αὐτὸν ἀνθρώπους, ὕστερον. ὥστε καὶ ἐν τούτῳ δῆλον, ὅτι πᾶς μεταβολὰς ἐθέλησι θεραπεύειν τοῦ θείου τῆς ἀνθρωπίνης ζωῆς εἰς τὰ ἐναντία γινομένας.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Ὑσμίνη ξυνχεῖα· σὺ δ' ὡς πάρος ἦθα δαΐφρων,
Ὡς καὶ νεῦ μέγαν ἵππον Ἀρείονα κυανοχαίτην
Πάντη ἀνασσεφορᾶν καὶ ἀρηγέμεν, ὥς κε δύνηαι.

Sic ait. arrisit autem fortis Hercules,
Animo oblectatus: admodum enim sibi commoda dixerat.
Atque ipsum, respondens, verbis volucribus allocutus est:
O heros Iolae, Iouis alumne, non procul etiam hinc
Pugna aspera. Tu vero quemadmodum antea fuisti bellicosus:
Ita & nunc magnum equum
Arionem nigricantibus setis obtectum
Quoquoversum conuerte, & auxiliare proceræ poteris.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Ταῦτά (φησὶν) εἰπόντος τοῦ Ἰολάου, ἐχάρη ὁ Ἡρακλῆς· φρονίμως γὰρ ἀπελογήσατο ὁ ἀνεψιὸς αὐτοῦ, καὶ εἶπεν Ἡρακλῆς· ἐμακρὰν ἡ μάχη Ἰόλαε· σὺ δ' ὡς πρὸ καὶ πρότερον ἦθα ἐμπειρος πολέμου καὶ ἱππεύσεις καλῶς, ὅπως καὶ νῦν φρόντισον ἱππηλατεῖν τοὺς ἵππους καὶ βοηθεῖν καθόσον δύνασαι. ὀρείχαλκος τὸ λευκὸν χάλκωμα. ὦ ὄρεσι γὰρ φύεται. ἄλλοι δέ φασιν, ὧν καὶ Φιλόπονος, ὀρείχαλκον εἶναι ὕλην τινὰ μεταλλικὴν τιμιωτέραν χαλκοῦ, ἣ νῦν οὐχ εὑρίσκεται· ὡς πρὸ δ' ἀνατιθέασιν τῷ τεκτονικῷ καὶ ὑφαντικῷ τῇ Ἀθηνᾷ, ὅπου καὶ τῷ ὁπλοποιητικῷ τῷ Ἡφαίστῳ.

Ὑσμίνη] ἡ μάχη, καὶ γίνεται χρὴ τὸ Θεσσαλονίκεως ἀπὸ τοῦ ὑσμίμειν, ἵν' ᾖ ὑσμίμη καὶ ὑσμίνη. ὑσμένης γὰρ καὶ ὑφίσας ἡ μάχη τὸ πόλεμον τῆς ἀνδρῶν. ἦθα.] καινόνισον, εἰμὶ τὸ ὑπάρχω, καὶ ὁ θεραπευτικὸς λῶ, τὸ δεύτερον ἦς, καὶ ἐπ' ἐκτάσει τῆς θα συλλαβῆς ἦθα. ἀρείονα.] τὸ συγκειμενον ἐλάβομεν αὐτὶ θηλυκοῦ, καὶ ἐπ' ἄλλοις δὲ πλείοσιν ἔθος πιστὸν τῷ Ἡσιόδῳ· τὸ δὲ χαίφος μικρὸν φεύγει τὴν ἀπελογίαν τῶν συγκειμενικῶν· ταῦτα γὰρ πάντα καθὸ περιγρῆ συνέλλογον.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Ἀρείονα κυανοχαίτην.] Ἀρείων ἵππος, ὃν ἔλαβεν ὕστερον Ἄδραστος. Ὁ μυρ·

Οὐκ εἰ χεν μετόπισθεν Ἀρείονα δῖον ἐλαύνῃς,
Ἄδράστου τὰ χεῖ ἵππον.

ἔτος ἢ Ἀρκίθοος, ὅτε ἐθωρᾶτο ὁ Ἡρακλῆς, τὸ Ἀ-
γείοι φασὶ ἵππῳ καχῆϊ, ᾧ ἐποχέμενος Ἀ-
δραστος, ἐν ταῖς Θήβαις ἐξέφυγε. Ἀ-
ρέων, ἵππος Ἡρακλέους.

Ὡς εἰπὼν κνημῖδας ὀρειχάλκοιο φαεινῆς,
Ἡφαίστου κλυτὰ δῶρα, θεὰ κνήμῃσιν ἔθηκε.
Δεύτερον αὖ θώρηκα περὶ στήθεσιν ἔδυνε
Καλὸν, χρυσοῦν, πολυδαίδαλον· ὃν ῥ' οἱ ἔδωκε
Παλλὰς Ἀθηναίη κούρη Διὸς, ὁππότ' ἔμελλε
Τοιῶνδε στονόεντας ἐφορμήσασθαι ἀέθλους,
Θήκατο δ' ἀμφ' ὤμοισιν ἀρῆς ἀλκτῆρα σίδηρον
Δεινὸς ἀνήρ. κοίλῃσι δὲ περὶ στήθεσσι φαρέτρη
Καββαλέτ' ἐξόπιθεν· πολλοὶ δ' ἔντοσθεν ὀϊστοὶ
Ῥιγηλοὶ, θανατοῖο λαθιφθόγγοιο δοτῆρες.
Πρόσθεν μὲν θάνατόν τ' εἶχον καὶ δάκρυσι μύεσκον·
Μέσσοι δὲ ξεστοὶ πεπαρμένοι· αὐτὰρ ὄπισθεν
Μορφνοῖο φλεγύαο καλυπτόμενοι περύγεσσιν
Ἦσαν. ὁ δ' ὄβριμον ἔγχος ἀκαχμένον εἵλετο χαλκῷ
Κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὐτυκτον ἔθηκε,
Δαιδαλέην, ἀδάμαντος, ὅτῃ περιταφρος ἀερσὶν,
Ἥτ' εἴρυτο κάρη Ἡρακλῆος θείοιο.

Sic locutus, ocreas, ex orichalco splendido,
Vulcani inclyta dona, tibiis induxit.
Mox & thoracem pectori induit
Pulchrum, aureum, variegatum, quem ipsi dederat
Pallas Minerua filia Iouis, tunc cum cœpturus
Primum luctuosa aggredi certamina.
Posuit autem circa humeros nocumenti depulsorium ferrum.
Sæuus vir, cauam circa pectora pharetram,
Reiecitque in tergum. in hac multæ erant sagittæ
Horrendæ, mortis vocem reptimensis datrices.
Hæ à capite quidem mortem habebant præfixam, & vnguentum lacrymarum
Mediæ autem politæ erant. longæ: sed a tergo
Nigræ aquilæ contectæ alis
Erant. ille a. validam hastam præfixam ære corripuit.
Capiti vero ingenti galeam fabrefactam imposuit,
Variegatam, ferream, temporibus adaptatam,
Quæ tutum reddebat caput Herculis diuini.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Ταῦτα εἰπὼν (φησὶν) ὁ Ἡρακλῆς, κνημῖδας μὲν λευκῷ χαλκῷ, ἔθηκεν εἰς τὰς κνήμας αὐτοῦ. εἶτα θώρακα ἐνεδύθη χρυσοῦν, δῶρον τῆς Ἀθηνᾶς. ἔθηκε δὲ καὶ εἰς τοὺς ὤμους αὐτοῦ σωσάνιον, καὶ τοξοθήκην ἐπέρασεν εἰς τὰ νῶτα αὐτοῦ, ἵν' καὶ εἰς τὸ ὄπισθεν μέρος ἀφελκύσῃ· εἶχεν δὲ τὰ βέλη ἐμφερόμενα μὲ θάνατον, ὅτι τοὺς ἀνδρας τῶν ξιφῶν τοὺς θανατηφόρους· τοῦτο δὲ μέσον ξεστὸν, διότι τὸ μέσον τοῦ βέλους ξύλον ὀφείλει ξεστὸν· ὄπισθεν δὲ ἐπαλύπτοντο ἐν πτεροῖς ἀετοῦ· ἔλαβε δὲ καὶ ἐν τοῖς χερσὶν αὐτοῦ κοντάριον μετὰ ξίφους· ἐπέθηκε δὲ τῇ κεφαλῇ αὐτοῦ περικεφαλαίαν πανύλλιν ἀδάμαντι σιδήρῳ ὅτι τῇ κεφαλῇ αὐτοῦ ἀνδρίζοντο. ἀδάμαντα ἐνταῦθα οὐ λέγει τὸν λίθον, ἀλλὰ τὸν σίδηρον· καὶ γὰρ καὶ ὁ σίδηρος, εἰ καὶ μὴ λίαν ἀτίμητος, ἀλλ' οὖν δυσμάλακτος καὶ δυσδάμαστος· ἔδωκαν δὲ τοῖς ποιηταῖς καὶ τῇ ἄλλῃ γραφῇ τὸ σιδήρειον ἀντὶ τοῦ δύο λαμβάνειν. δὸ ἄθλατον ὁδὸν τινὰ δύσβατον λέγομεν, καὶ ἀπέρατον θάλασσαν τινὰ δυσπέρατον. ἀρῆς] ἤγουν βλάβης· ἐξ οὗ μέρου δὲ ἀφαπτοίλιον ἐκάλουν πάντες οἱ σίχοι. ἀρὰ δὲ σημαίνει τρία, τὴν κατάραν, τὴν εὐχὴν, καὶ τὴν βλάβην. ἀλκτῆρα.] ἤγουν ἀποσοβητὴν, ἀπὸ τοῦ ἀλκῶ τῷ βοηθῶ. φαρέτρα λέγεται τὸ ὀϊστοδόχον ὅπλον, ἐν ᾧ δηλαδὴ βάλλονται τὰ βέλη. λέγεται δὲ οὕτω φαρέτρα, παρὰ τὸ φέρειν τὰ βέλη δυνάμενα. γωρυτὸς δὲ καλεῖται τὸ ὅπλον, ἐν ᾧ ἐμβάλλεται τὸ τόξον, ἀπὸ τοῦ γῶ τὸ χωρῶ, καὶ τοῦ ῥυτὸ τὸ ἑλκυστὸν, τὸ χωροῦν δηλαδὴ τὸ ἑλκυστὸν, ἤγουν τὸ τόξον. ὀϊστὸς ἐπιμολογεῖται ἀπὸ τοῦ οἴω τὸ κομίζω καὶ διάλυσιν, ὥσπερ καὶ ἰὸς τὸ αὐτὸ, ἀπὸ τοῦ ἵημι τὸ πέμπω.

μορφνὸς] ὁ αὐτὸς λέγεται δὲ περύγης, καὶ ὀφθαλμίας, καὶ φλεγύας, καὶ ἄλλα μυρία ὀνόματα.

Γέγονεν, ὅτι ἡ τοῦ Ἡρακλέους ἀσπὶς, ἣν ἐπαφέρεται Ἡσιόδου, τινὶ οἰκημάτῃ ἄπασαν εἰκονίζει,

ζειν, καὶ τὰ ἐν αὐτῇ συμβαίνοντα δεικνύναι· μάχας φημὶ καὶ πανηγύρεις, καὶ χορὸὺς καὶ ἀγῶνας, καὶ πολέμους, καὶ πορθήσεις πόλεων, καὶ τὰ πάντα πανταχοῦ γινόμενα. ἐν δὲ τούτοις ἄλλους μὲν ἀροῦντας, ἄλλους δὲ θερίζοντας καὶ εἰς τὸν ἄλλον τρόπον τοὺς ἀγροὺς κομίζοντας· ἑτέρους δὲ τρυγῶντας βότρυας καὶ ἐκ τῶν ληνῶν ἀποκομίζοντας. ἴδοις δ' ἂν ἐν αὐτῇ καὶ χιονηγέτας καὶ πύνας λαγὼς διώκοντας, καὶ ἵππους ἅμιλλαν δρόμου ποιουμένους, καὶ νέους ὀρχουμένους τε καὶ ᾄδοντας ἐπὶ αὐλόν, καὶ πολλὰ τοιαῦθ' ἕτερα. ὅλη δὲ τέχνης ἐστὶν ἀνάπλεως θεωρήσαντα δὲ Ὠκεανὸν, καὶ πᾶσαν ἐκείνην τὴν οἰκουμένην, καὶ πύπνας ἐν τούτῳ ᾄδοντας. καὶ θαυμάσεις οἶμαι τὸν τε τὴν ἀσπίδα κατασκευάσαντα καὶ φάσιν, καὶ τὸν ταύτην ἐνεφήσαντα ποιητήν. θαυμαστὸν γὰρ ἑκάτερον ἡ τῆς ἀσπίδος ἀπόδειξις ταύτης κατασκευή.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

ὀρείχαλκοιο φαεινῆ.] ὀρείχαλκος εἶδος ὕλης, ὅτου καλυμένης· ἢ πῆς νεῶν ἐκ ἐείσης. ἄλλοι δέ φασιν, ὅτι χύμευσις ἐστὶ χαλκοῦ, νεῶν ἀειστομένων. ἐὰν δὲ σκευασίᾳ τινὶ γένηται ἐ χαλκὸς λάμπων, φύσει πυρρὸς ὤν. λαθιφθόγγοιο δοτῆρες.] ἔπλασε θέλγοντες οἱ δημιουργοὶ τῇ φθογγῇ, τουτέστι τῷ λέγειν. ἕρμιν δὲ καὶ ἄσαζον καὶ δάκρυσι μύρον, αὐτὸ τὸ μύρεσθαι ἐποίουν τοὺς ἐπ' ἀναιρεθέντων οἰκείους, ὡς κεχρισμένων ἐπὶ βελῶν ὄντων θανασίμῳ φαρμάκῳ. ἢ καθότι οἱ τυπτόμενοι εὐθέως ἐπλεύτων, καὶ πάντες ὑπὸ τῆς συγγενῶν ἐδακρύοντο.

Μυρρινοῖο φλεγύαο.] ἐπερωμένοι ἦσαν, μέλανος δὲ αὐτῆς φλεγύης, ἐκ τοῦ φλέγειν καὶ λαμπρὸν εἶναι· οἱ δὲ ὄρνεον εἶναι φασὶν ἀπό τινος.

ἀδάμαντος ὅτε κροτάφοισι.] ἐξ ἀδάμαντος κατεσκευασμένου. ὁ γὰρ ἀδάμας λίθος ἐστὶν ἀδάμαστος.

ΧΕΡΣΙ γε μὲν σάκος εἶλε παναίολον· οὐδέ τις αὐτὸ
Οὔτ' ἔρρηξε βαλὼν, οὔτ' ἔθλασε, θαῦμα ἰδέσθαι.
Πᾶν μὲν γὰρ κύκλῳ πετάων λύκιῳ τ' ἐλέφαντι,
Ἠλέκτρῳ θ' ὑπολαμπὲς ἔην, χρυσῷ τε φαεινῷ
Λαμπόμενον. κυανέαι δὲ δι' αὐτοῦ πῖχες ἠλήλαντο.
Ἐν μέσῳ δὲ δράκοντος ἔην φόβος ὕπ φατὸς
Ἐμπαλιν ὄσσοισιν πυρὶ λαμπομένοισι δεδορκώς.
Τῷ καὶ ὀδόντων μὲν πλῆτο στόμα λυκὰ θηόντων,
Δεινῶν, ἀπλήστων. ὑπὲρ δὲ βλοσυροῖο μετώπου
Δεινὴ Ἔρις πεπότητο κορύσσεσα κλόνον ἀνδρῶν
Σχετλίη, ἣ ῥα νόον τε καὶ ἐκ φρένας εἵλετο φωτῶν,
Οἵτινες ἀντιβίην πόλεμον Διὸς υἷι φέρωσιν.
Τῶν δὲ ψυχαὶ μὲν χθόνα δυμεναι εἴδος ἔασιν
Αὐτῶν. ὀστέα δ' ὑπὸ ῥινοῖο σαωθείσης,
Σηπέμεν ἀζαλέοιο κελαινῇ πύθεται αἴῃ.

At manibus clypeum accepit, varium totum, quem nemo quisquam
Neque perrupit iaciendo, neque comminuit, mirum visu.
Nam totus quidem circumquaque gypso, candidoque ebore,
Et electro lucidus erat, auroque fulgido
Splendens, cæruleis plicis fulgorem intersecantibus.
In medio autem draconis erat terror, haudquaquam effabilis,
Retro oculis igne lucentibus
Cuius & dentibus quidem repletum erat os candidantibus,
Sæuis, inaccessis. super terribilem autem frontem
Sæua Contentio deuolitabat, accendens pugnas hominum,
Tetra, quæ mentem eximebat, & præcordia viris
Quicunque bellum aduersus Iouis filium gerentes.
Quorum & animæ quidem sub terram eunt ad Orcum intro
Ipsorum: ossa autem ipsis, pelle circum putrefacta,
Sirio sub torrido in nigra putrescunt terra.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Ἐν παῖς χερσὶ δέ (φησὶν) ἔλαβε σάκος παναίολον, ὅσσῳ οὐδεὶς αἰζηὸς βαλὼν ἔρραισεν, θαυμαστὸν· ὅλον γὰρ κύκλῳ λαμπρὸν εἶναι ὡς ἐν γύῃ καὶ ἐλέφαντος ὁσίοις καὶ λυκίῳ χαλκῷ καὶ χρυσίῳ· πυρμάδες δὲ μέλανος διὰ μέσου τοῦ χαλκοῦ ἐγγεγραμμέναι ἦσαν, ἐν τῷ μέσῳ δὲ τοῦ ἀσπίδος ἰὼ ἰὼ γεγραφισμένος δράκων, εἰς τὸ πίσω

τὰ πίσω βλέπων ἐν ὀφθαλμοῖς πυρωτοῖς· ἔ δράκοντος· τὸ μὲν γὰρ μέγα καὶ λευκὸς ὀδόντας φοβερούς, ἐπάγων ὃ τῷ θεσπεσίῳ τοῦ δράκοντος ἐπέτετο ἡ χαλεπὴ ἔρις, ἧχω ἡ μάχη, ὡς περ τις θεὰ, παροτρύνουσα καὶ ἐρεθίζουσα τοὺς ἄνδρας εἰς πόλεμον· ἤ τις μάχη καὶ τὴν γαῖαν αὐξήσει τῷ ἐκπεμφθέντων τῷ Ἡρακλεῖ· τοῦτο δὲ φησιν ὁ ποιητὴς, ὡς ἀφρόνων ὄντων τῶν ἀπομαχομένων τῷ Ἡρακλεῖ ἀνδρειοτάτῳ ὄντι. ὧν, τῶν ἐκπεμφθέντων δηλαδὴ τῷ Ἡρακλεῖ, αἱ ψυχαὶ μὲν εἰς τὸ ἀΐδιον περιοῦται, τὰ δὲ σώματα ὃ αὐτῶν, ἐπαφέντων τῶν δερμάτων, κεῖται ἐν τῇ γῇ γενόμενα τοῦ ἡλίου τοῦ ξηραντικοῦ. παναίολον, ἤγουν ποικίλον. λέγει δὲ αἴολον τὸ ποικίλον, ἀπὸ Αἰόλου τινὸς χαθομένου τῷ ποιητῇ, ποικίλα τινὰ φρονήσαντος, καὶ ἀσαφομίλητα τοῖς σώμασιν. τίτηνος, ἢ ἄσεσος· ἐνταῦθα δὲ τὸν γύψον λέγει, ὃν καλοῦμεν σμύρον. ἐλέφας ἐνταῦθα, καὶ οὐδὲ τῷ ποιητῇ, τὸ τοῦ ἐλέφαντος ὀστοῦν λέγει. ἤλεκτρος κατὰ χρῆσιν ἐνταῦθα ὁ χρυσολαμπὴς χαλκὸς, διὰ τὸ λαμπρύνειν. ἠλήλαντο.] χαράσσουσιν, ἐλάω ἐλῶ, τὸ ἐλαύνω. ἐμέλλων ἐλάσω, ὁ ἤλασα, ὁ παθητικὸς ἤλαμαι, ὁ ὑπερσυντέλικος ἐλήλαμαι, τὸ πρέπον τῶν πληθυντικῶν ἤλασται καὶ Ἀττικῶς ἠλήλαντο, καὶ ὤφειλεν εἶναι ἐλήλαντο, ἀλλὰ τὰ Ἀττικὰ τὰ ἀπὸ βραχέος ἀρχόμενα ἐν τῷ παρακειμένῳ, χρονικῶς μεγεθύνονται ἐν τῷ ὑπερσυντελίκῳ δὲ ἔχουν, ἀπὸ τοῦ δέρμα ἐδάρκειν, δάρμων καὶ δέρκων. ὥσπερ ἄρτος ἀρτειὰς, οὕτω καὶ φατὸς φατειός. πλῆτο.] τὸ δέμας, πλῆμι, τοῦτο δὲ ἐκ τοῦ πλῶ τοῦ πλήρω, καὶ τὸ παθητικὸν πλῶμαι, καὶ ὁ παρακείμενος ἐπλήμην, ἔπλησο, ἔπλητο, καὶ ἀφαιρέσει τοῦ ε πλῆτο. βλεσυρὸν ἀπὸ τοῦ βάλλειν καὶ πτερύσσειν τοῖς ὄσσοις καὶ τοῖς ὀφθαλμοῖς. ἧς] ἡ εὐθεῖα ὁ ἵς τοῦ ἵος, καὶ ἕος, τοῦ ἕος καὶ ἧος. ἀϊδρεῖ.] ἡ εὐθεῖα, ὁ ἄϊς· ἐπιμελοῦνται ὃ ἀπὸ τοῦ ἀ στερητικοῦ μορίου, καὶ τοῦ εἶδω εἶσω, τὸ βλέπω· ἤγουν ἄϊς τόπος σκοτεινὸς, εἰς ὃν οὐδεὶς δύναται βλέπειν. καὶ ὤφειλεν εἶναι ἄεις διὰ τοῦ εἶς διφθόγγου, ἀλλ' ὥσπερ ὁ νῆις ἐγένετο ἀπὸ τοῦ νή στερητικοῦ μορίου καὶ τοῦ εἴδω εἶσω τὸ γνώσκω ἐσπαγαφεῖ, οὕτω καὶ τοῦτο.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

κύκλῳ πτάντι.] τινὲς μὲν γύψον μὲ λευκῶν οὖσ. ἐπάνω δὲ τοῦ γύψου, ἤλεκτρος ἦν καὶ χρυσὸς ἡ λεγομένη μαρμάρω καὶ κονίᾳ.

Ἐν μέσῳ δὲ ἔχοντας.] καταπτοεῖ τὸν φόβον ἐνταῦθα, ὡς αὐτὸ ἐν τῷ μέσῳ δὲ ἀδάμαντος ὄν, ἀδάμως δυναμένους ἐλθεῖν. ἔτι φατὸς] φοβερὸν, ἀῤῥητον, μὴ δυναμένων λαλῆσαι, διὰ τὸ ἐκπληκτικόν. ἐνταῦθα δὲ τὸ φατειὸν, οὐκ ὅτι φοβερὸν καὶ ἀῤῥητον, ἀλλ' ὅτι δεινὸν ματος.

Ἐνδὲ προϊωχίς τε παλίωξίς τε τέτυκτο,
Ἐνδ' ὁμαδός τε φόβος τ' ἀνδροκτασίη τε δεδήει.
Ἐνδ' Ἔρις, ἐν δὲ κυδοιμὸς ἐθύνετο, ἐν δ' Ὀλοὴ Κήρ,
Ἄλλον ζωὸν ἔχουσα νεήλατον, ἄλλον ἄκοτον,
Ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν.
Εἶμα δ' ἐχ' ἀμφ' ὤμοισι δαφοίνεον αἵματι φωτῶν,
Δμῳὸν δερκομένη, καναχῆσί τε βεβρυχυῖα.
Ἐν δ' ὀφίων κεφαλαὶ δεινῶν ἔσαν ὕπατ' ἀγρώστων
Δεκάδεκα· τὰ φοβέεσκον ὁπὶ χθονὶ φῦλ' ἀνθρώπων,
Οἵ τινες ἀντιβίλην πόλεμον Διὸς υἷι φέρεσκον.
Τῶν καὶ ὀδόντων μὲν καναχὴ πάλιν ἂψ τε μάχοντο
Ἀμφιτρυωνιάδης· τὰ δὲ δαίετο ἔργα θοῶν

In eo autem & propersecutio, & viceversa persecutio fiebat. In eo tumultus, cædesque, & homicidium huc illuc ferebatur. In eo Eris quoque, & motus furebat: in eo pernicioſa Parca. Vnum alium tenens vulneratum, alium autem illæſum. Alium mortuum per pugnam trahebat pedibus. Veſtem autem habebat circum humeros cruentam ſanguine virorum. Sæuum videns, clamoribuſque ingemiſcens. In eo autem & ſerpentum capita ſæuorum erant haudquaquam effabilium, Duodecim, quæ perterrefaciebat ſuper terram genera hominum Quicunque bellum contra Iouis filium mouerent. Quorum & denique quidem cruor edebatur, quoties pugnabat Amphitryoniades. Hæc autem diſtincta erant miranda opera.

Στίγμα-

Στίγματα δ' ὡς ἐπέφαντο ἰδεῖν δηϊοῖσι δράκουσι
Κυανέα χ' ὑῶτα· μελαίνηισαν δὲ γένεια.

Porro veluti puncta quædã apparebãt videndã fœuis draconibus
Cærulea pectora, denigratæq. erant illis maxillæ.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Ἐν τούτοις (φησὶν) ἰὼ ἡ θεοδίωξις, ἡ ὀπισθοδίωξις, ὡς πνες θεαὶ ἐζωγραφημέναι· ἡ γὰρ αἱ πτέρυγες ποτὲ μὲν διώκουσι, ἡ καλεῖται τοῦτο θεοδίωξις· ποτὲ δ' διώκουσι, ἡ καλεῖται τοὐτὸ παλίωξις· θεοσυποποιεῖ δὲ τὰ πράγματα χ' ῥᾴμον ποιητικόν. ἰὼ δὲ ἐν τῇ ἀσπίδι ἡ Θόρυβος· ἡ Φόνος, ἡ ἐσταλμένοι ἡ ἐμάχοντο (ἀπὸ τοῦ δαίω τὸ κόπτω) ἤ αἰδρομαχία, ἤγουν ὁ τῆς αἰδρῶν φόνος. σὺν τούτοις ἦν ἐζωγραφημένη ἡ Ἔρις ἡ ὀλοόφυρος, ἡ ἡ κήρ, ἤγουν ἡ θανατηφόρος θεά, ἄλλον μὲν ἔχουσα ῥοπτῆρα, ἄλλον ἄπρωτον, ἄλλον δὲ πρὸ εἴλκυσεν ὁπλῆς θανόντα ἐν τῷ πολέμῳ ἐφόρει δὲ ἱμάτιον βεβαμμένον ἐξ αἵματος, χαλεπῶς ἡ ἀχέως βλέπουσα, ἡ γαυριῶσα ἐν χαρᾷ ἡ κτύπῳ. ἐν τούτοις, φησὶν, ἐζωγραφῶντο ἡ ὄφεων κεφαλαὶ δώδεκα, αἳ δὴ ἐφόβουν τοὺς ἀνδρώπους τοὺς ἐναντιουμένους τῇ Ἔριδι. κλεῖ. ὧν ἡ ὑπὸ τῆς ὀδόντων ἀπετελεῖτο κτύπος· ὅσος ἐμάχετο Ἡρακλῆς μετ' τίνος. τὰδε θαύματα ἡ θαύματα ἔργα δαίδαλα, ἤγουν μεμιασμένα ἴσως, ἡ ἐ συγκεχυμένα. θαυμαστὸν δὲ τὸ θαυμαστὸν διὰ τὸ μέγεθος. ἡ Πίνδαρος· ἓν θαύματι πολλά. ὡσεὶ δὲ ἐπίμαι ἴσως ἐπάνω τῆς ῥαχίας τῆς δρακόντων· κατάκειται γὰρ ἡ ποικίλοι οἱ ὄφεις. τὰ δὲ γένεια τῆς δρακόντων, ἤγουν ὁ περὶ τὸ στόμα ἡ τὰς σιαγόνας τόπος μέλας ἰῶ. κυδιμὸς ἀπὸ τοῦ κύειν οἵδματι ἡ ταραχάς. κὴρ ὅτι μὲ θανάτῳ ὀξύνεται, ὥσπερ ἡ ἡ χείρ· γίνεται δὲ ἀπὸ τοῦ χειρῶ τὸ στερίσκω, χὴρ ἡ κήρ· κῆρ δὲ ἡ ψυχὴ ἑδιτέρως δέεται. ἔστι γὰρ κέαρ ἡ ἐν συναιρέσει κῆρ· γίνεται δὲ ἀπὸ τοῦ καίω τὸ φλογίζω, ἡ ψιλογραφεῖται. τεθνηῶτα.] ὅτι ὁ καινὸν μεγεθύνει τὸ ω. χ' γὰρ τὰ εἰς ως ὀνόματα ἡ αὐτὰ μεγεθύνουσι, οἷον γέλως, ἥρως.

Ἐν δὲ συῶν ἀγέλαι χλοώνων ἔσαν ἠδὲ λεόντων,
Ἐς σφέας ὁρμωμένων, κοτεόντων τ' ἰεμένων τε,
Τῶν καὶ ὁμιλαδὸν στίχες ἴσαν· ὑδέ νυ τώγε
Οὐδέτεροι δείδιμεν· φείδοντο γὰρ μὲν αὐχένας ἄμφω.
Ἤδη γάρ σφιν ἔκειτο μέγας λὶς, ἀμφὶ δὲ καπροὶ
Δοιοὶ ἀπουρήμενοι ψυχάς. καὶ δή σφι μελαινὸν
Αἷμ' ἀπελείβετ' ἔραζ· οἱ δ' αὐχένας ἐξεριπόντες
Κείατο τεθνειῶτες ὑπὸ βλοσυροῖσι λέουσι.
Τοὶ δ' ἔτι μᾶλλον ἐγήρεθεν. κοτέοντε μάχεσθον
Ἀμφότεροι, χλοώσαί τε σύες, καπροί τε λέοντες.

In eo autẽ & suum greges agrestium erant, atque leonum.
Mutuo sese aspicientium, irascentiumque, & festinantium:
Quorum etiam turmatim ordines incedebant: neq; vero hi,
Neq. illi alteros timebant, horrebant attamen colla amborum.
Iam enim ipsis iacebat magnus leo, circum autem apri
Duo, spoliati animas, deorsumque ipsis niger
Cruor distillabat in terram. ipsi autem ceruicibus dejectis
Iacebant mortui sub terribilibus leonibus.
At illi magis etiam excitabantur incensi ad pugnandum,
Vtriq; agrestesque sues, truculiq; leones.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Ἐν τούτοις (φησὶν) ἦσαν ἐν τῇ ἀσπίδι ἡ ἀχέων χόρων ἀγέλαι ἡ λεόντων ἐμβλεπόντων εἰς ἀλλήλους ἡ θυμουμένων, ἡ ὁρμωμένων κατ' ἀλλήλων· ἅπ ἡ δ' τάξεως ἐπορεύοντο αἱ ἀγέλαι· ἐκ δεξιῶν γὰρ ἦσαν οἱ καπροί, ἔπειτα οἱ λέοντες. ἀριστερὸν δὲ, ἤγουν ἐκ τοίχου τοὺς πρώτους. διὰ θυμὸν ἤδη γὰρ ἐπῆλθε τοῖς καπροῖς μέγας λέων. δύο δὲ καπροὶ φεῦ αὐτὸν· ἔκειντο τεθνεῶτες· ἀπ' αὐτῶν δὲ ἐχεῖτο αἷμα εἰς τὴν γῆν· οἱ δὲ εἰδότες τὰς κεφαλὰς ἔκειντο ὑποκάτω τῶν λεόντων· οἱ δὲ ἀμφότεροι, οἱ χοῖροι λέγω, ἡ οἱ λέοντες, μᾶλλον ἐξηγέρθησαν εἰς μάχην. ἦσαν] καινότερον· εἶτα τὸ πορεύομαι, ὁ μέλλων ἔσομαι, ὁ ἄορτος εἶσα· τὸ τρίτον τῆς πληθυντικῶν εἶσαν, ἡ διαλύσει

διαλύσει εἶναι, ἢ πρόσωπον τοῦ εἰς ἡνίοιον. [δύο ψιλόν, οἷον ἢ οἱ δύο δίφθογγα, τὰ δύο ὁ καὶ ἰ.] κάφοι τὰς ψυχὰς ἀφέντες. Τοὶ δ' ἅτε] ἄτου καὶ ὀφῶντες τοὺς ἀμείνους πολὺ διαφέροντα εἰς τὸν μαχόμενον.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

μέγας λῖς.] εἰς λέοντα νεκρὸς ἔκειτο, καὶ δύο

Ἐν δ' ἦν ὑσμῖνι Λαπιθάων αἰχμητάων
Καινέα τ' αὐτάκτην, Δρύαντά τε, Πειρίθοόν τε,
Ὁπλέα τ', Ἐξάδιόν τε, Φάληρόν τε, Πρόλοχόν τε.
Μόψον τ' Ἀμπυκίδην Τιταρήσιον, ἔζον Ἄρηος,
Θησέα τ' Αἰγεΐδην, ἀπτοίητον ἀθανάτοισιν.
Ἀργύρεοι, χρύσεα εἵματα περὶ χροὶ τεύχε' ἔχοντες.

In eo autem erat & pugna Lapitharum bellatorum,
Caeneum circa regem, Dryantemq. Pirithoumque,
Hopleumq. Exadiumq. Phalerumq. Prolochumque
Mopsumq. Ampycidem, Titaresium; ramum Martis,
Theseumque Aegeidem, similem immortalibus:
Argentei, aurea circum corpus arma habentes.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Ἐν τούτοις (φησὶν) ἦν ἐζωγραφημένη μάχη τῶν πολεμικῶν Λαπιθῶν. λέγω δὲ τὴν περὶ Καινέα, καὶ Δρύαντα, καὶ Πειρίθοον, καὶ Ὁπλέα, καὶ Ἐξάδιον καὶ Φάληρον, καὶ Πρόλοχον, καὶ τὸν Μόψον τὸν υἱὸν τοῦ Ἀμπυκος τὸν Τιταρήσιον, ἀπὸ Τιταρησίου τόπου, καὶ τὸν Θησέα τὸν υἱὸν τοῦ Αἰγέως, τὸν ὅμοιον τοῖς θεοῖς· οὗτοι γὰρ πάντες βασιλεῖς ἦσαν τῶν Λαπιθῶν· οἱ δὲ Λαπίθαι ἐστὶ Θετταλικὸν μάχημον. ἦσαν δὲ ἐν τῇ εἰκονογραφίᾳ ἐκεῖνοι μὲν ἀργυροῖ, τὰ δὲ ὅπλα αὐτῶν χρυσᾶ.
Αἰγείδης ὁ υἱὸς Αἰγέως· οὗτος δὲ Ἀθηναῖος Ἀθηναίδης. ὅτε καὶ Αἰγεὺς Αἰγείδης. ἐκκλῶ ὁμοίως, τὸ ἐκκλῶ, ἐξεκκλῶ δὲ καὶ ἐπεκκλῶ τὰ σωθέντα διφθογγον. χρωτὶ

μέγα, χροὶ δὲ μικρόν· ἔχει μὲν γὰρ ἡ εὐθεῖα ὁ χρώς, ἤγουν τὸ σῶμα. οἷς ὁ γέλως· ἐντεῦθεν δὲ, ὁ χρῶς, ὁ σημαίνει τὸ αὐτὸ, οἷς ὁ βῶς.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Λαπιθάων.] Πειρίθους εἰς Θίβας ἐλθὼν διά τινα συγγενικὸν φόνον, ὥστε καθαρθῆναι, ἔσχε γυναῖκα Δῖαν τὴν τοῦ Βυτάκου θυγατέρα. οἱ δὲ υἱοὶ Λαπίθαι ὑβρίζοντες εἰς τὰς Ἑλλωτίδας γυναῖκας, πόλεμον συνεκρότησαν ἀμφότεροι. λέγει οὖν, ὅτι ἐν τῷ ἀσπίδι ὁ πόλεμος τῶν Λαπιθῶν, καὶ τῶν Κενταύρων.
Ἀργύρεοι, χρύσεια.] ἀργύρεα μὲν τὰ ζῶα, χρυσᾶ δὲ ἦν τὰ ἐπ' αὐτῶν ὅπλα.

Κένταυροι δ' ἑτέρωθεν ἐναντίοι ἠγερέθοντο
Ἀμφὶ μέγαν Πελίοιο καὶ Ἀβόλου ἰαπετιῶνα.
Ἄρκτους δ' Οὐρείους, μέλανας, χαίτῃσι τε Μίμαντας,
Καὶ δύο Πευκείδας, Περιμήδεά τε, Δρύαλόν τε·
Ἀργύρεοι, χρυσέας ἐλάτας ἐν χερσὶν ἔχοντες.
Καί τε σφεας αἰχμῇσι ζωοὶ πυρὶ εἴκελοι ἦσαν,
Ἔγχεσιν ἠδ' ἐλάτῃς αὐτοσχεδὸν ὠρίνοντο.

Centauri autem ex altera parte contra hos congregabantur
Circa magnum Peliæum atq. Abolum augurem,
Arctiumq. Huriumq. nigrumque pilis Mimantem,
Et duos Peucidas, Perimedem, Dryalumque,
Argentei, aureas abietes in manibus habentes.
Atq. impetu pariter facto, perinde ac si viui essent,
Lanceis atque abietibus certabant.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Οἱ Κένταυροι δέ (φησιν) ὅπως ἐναντίοι ἐστάθησαν τοῖς Λαπίθαις· λέγω δὴ τοὺς περὶ τὸν Πελίαν, καὶ τὸν

Θετταλικὸν, καὶ τὸν μῦθον ἐξ ἀνθρώπων καὶ ἵππων σύνθετοι ὑπῆρξαν ἑτέρωθεν ἐναντίοι τοῖς Λαπίθαις· λέγω δὴ τοὺς περὶ τὸν Πελίαν, καὶ

τὸν

τὸν Ἀσβολον τὸν μάντιν, καὶ τὸν Ἄρματα ὁ ἁρματηλάτην, καὶ τὸν μαχαιροφόρον Μίμαντα, καὶ τοὺς δύο υἱοὺς τοῦ Πευκέως, τὸν Πεισανδρον καὶ τὸν Δρύαλον· ἦσαν δὲ καὶ ἔτοι ἐν τῇ ζωγραφίᾳ ἀργυροῖ χρυσᾶς ῥαβδους κρατοῦντες, καὶ σὺν πολλῇ σπουδῇ ὅπλων καὶ ἵπποι οἱ Κένταυροι, καὶ ὥσπερ ζῶντες ἐπινοοῦν τι κατ' ἀλλήλων ἐν τοῖς ἄλλοις. ὠθιζοῦντο.] ἔστι ῥῆμα ὀρέγω τὸ κινῶ· ἡνίκα δὲ πλεονάζῃ εἰς ταῦτα τὰ ῥήματα τὰ παραληγόμενα τοῖς σύμφωνοις, τότε πτῶσιν τὴ ὁ εἰς ἰ· οἷον ἔχω ἴσχω, ῥέπω ῥίπτω, πέτω πίπτω, ὅπω ἵστω. ὅπως ἂν καὶ ὀρέγωμαι. τοῦτο γοῦν τὸ ὀρέγεσθαι μετοχὴν εἰς β συζυγίαν τὴν ἀποθετικὴν, καὶ γίνεται ὀρεγόμενος, καὶ τὸ παθητικὸν ὀρεγόμενος ὀρεγόμην, καὶ ὁ ἀοριστικὸς ὠρεγάμην· τὸ γὰρ πλεονασμὸν ὠρεγόμην καὶ ὠρεγόμην.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Καίτε συναίκτιλω.] ὁμοῦ ὥρμων μετ' ὁρμῆς συνελαύνοντες, ὥσπερ ζῶντες, ὠρέγοντο παρ' ἀλλήλων συναπτικῶς ἔγχεσι γὰρ οἱ λαπίθαι ἀλλήλους ἠκόντιζον.

Ἐν δ' Ἄρεος βλοσυροῖο ποδώκεες ἑστεῶτες ἵπποι
Χρύσεοι, ἐν δὲ καὶ αὐτὸς ἐναρφόρος ἔλιος Ἄρης
Αἰχμὴν ἐν χείρεσσιν ἔχων, θωρήσσεσκε κέλευθα,
Αἵματι φοινιόεις, ὡσεὶ ζωοὺς ἐναρίζων·
Δίφρῳ ἐμβεβαώς, τῷδε δὲ δείμός τε Φόβος τε
Ἕστασαν ἱέμενοι πόλεμον καταδύμεναι ἀνδρῶν.

Inter hæc autem Martis terribilis alipedes stabant equi
Aurei, & ibidem ipse quoque spoliator perniciosus Mars,
Mucronem in manibus habens, milites exhortans,
Sanguine cruentus, perinde atque viuos spolians,
Curru insistens: mixtà autem Pauore Metuque
Stabant gestientes bellum subire virorum.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Ἐν τούτοις (φησὶ) καὶ οἱ ἵπποι τοῦ Ἄρεος ἵσαντο, καὶ αὐτὸς ὁ Ἄρης καταγεγραμμένος ἦν ἐν τῇ ἀσπίδι, καλὸν πᾶσι τοῖς λαοῖς. τοῦτο γὰρ σημαίνει τὸ θρυλέεσθαι. βεβαμμένον ὢν ὁ Ἄρης ἐν αἵματι, ὥσπερ ζῶντας πρὸς σκυλεύειν, ἐμβεβηκὼς δὲ ἅρματος. πλησίον δὲ αὐτοῦ καὶ ὁ Δεῖμος, καὶ ὁ Φόβος, ὡς δοκεῖ τινες ἵσαντο ὀρεγόμενοι εἰσελθεῖν εἰς τὸ πόλεμον τῶν ἀνδρῶν. τὰ διὰ τοῦ οεῖς (ὡς καὶ ἄλλοτε εἴπομεν) εἰ μὲν ἔχουσι τὸ σὺν τῷ ὁ συλλαβικὴν βαρεῖαν, διὰ τοῦ ὁμικροῦ γράφεται· οἷον κρυόεις, σκιόεις, φοινικόεις· εἰ δὲ περισπᾶται, μεγαθοῦς· οἷον σταθμός, κηώεις, δυσώδης. ἐμβεβαὼς, βέβημι, ὁ μέλλων βήσω, ὁ παρακείμενος βέβηκα, καὶ ἐκλελῆ τὸ κ καὶ συνηλῆ τὴ παραληγούσης βέβαα, ἡ μετοχὴ ὁ βεβαώς, ὁ φάσκων διαιρεῖται εἰς ὢς, εἰς ὦσα, εἰς ὸς· αἰῶ εἰς αἰῶσω, εἰς καταίωξιν, εἰς ἔκπληξιν, καὶ εἰς ἀγωνίαν. καταδύμεναι] δύμεναι, καὶ εἰσελθεῖν· δύω, ὁ β' ἀόριστος ἔδυν, ἡ μετοχὴ ὁ δύς, τοῦ δυτικοῦ, καὶ τὸ ἀπαρέμφατον δῦναι, καὶ δυσικῶς περισπᾶται ὁ μῦ, δῦμεναι.

Ἐν δὲ Διὸς θυγάτηρ ἀγαλείη Τριτογένεια,
Τῇ ἰκέλη ὡσεί τε μάχῃ ἐθέλουσα πάρεστιν,
Ἔγχος ἔχουσ' ἐν χερσὶ χρυσείην τε ξυφάλειαν,
Αἰγίδα τ' ἀμφ' ὤμοισι· θὴ δ' ὤιχετο φύλοπιν αἰνήν.

Ibidem autem & Iouis filia præclara Tritogenia,
Ei similis quasi quæ pugnam velit armare,
Hastam habens in manibus aureamque galeam,
Ægidemque circum humeros: gradiebatur autem in prælium sæuum.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Ἐν τούτοις (φησὶν) ἵσατο καὶ ἡ Ἀθηνᾶ ἡ θυγάτηρ τοῦ Διὸς, ἡ ἀγχίμαχος καὶ ἀρηΐφιλος, καὶ ἡ περιμήκης τὸν Δία. τοιαύτη τις ἐστὶν ἡ περιγραφή· ἔστηκε γὰρ ἡ κεφαλὴ παρ' Αἰολοῦσι

κορύσσῃ.] ἤγουν ὁπλίζῃ. ἀπὸ τῦ κόρυς, ἡ περικεφαλαία, ἥτις ἐπιπολαγεῖ ἀπὸ τῦ τὸ κάρα ῥύεσθαι. θωρήσσειν δὲ μέγα κ᾽ ἁ, κ᾽ γίνεται ἀπὸ τῦ θώρηξ, ἡ θώρηξ θώρηκος. θοείσσειν δὲ, ἤγουν μεθύσκειν, μικρὸν κ᾽ ι, κ᾽ γίνεται ἀπὸ τῦ θοὸς ὁ ἄκρατος οἶνος. πευφάλεια κόρυς ἡ ἔχουσα τρεῖς φαλούς, ἤγουν ἐπισήματα. Αἰγίδα] αἰγὶς αἰγίδος τὸ αὐχενιον δέρμα, Αἰγιόχου δὲ Διός. φύλοπιν αἰνὴν.] φύλοπις ἡ μάχη, κ᾽ ἐπιπολαγεῖ ἀπὸ τῦ φυλὴ κ᾽ τῦ ὁ ὄπις ἡ φωνὴ, ἡ ἔχουσα διαφορὰν φυλῶν διαφόρων, ἥτις γίνεται κ᾽ ἐθνῶν πολλῶν, ὅταν ἀκ᾽ φωνὰς ἔσῃ. τὸ δὲ τῦ πολέμου σύμβολον. ἡ γὰρ φωνὴ πολέμου φύλοπις.

Ἐν δ᾽ ἴεν ἀθανάτων ἱερὸς χορός· ἐν δ᾽ ἄρα μέσσῳ
Ἱμερόεν κιθαρίζεν Λητῦς καὶ Διὸς υἱός
Χρυσείῃ φόρμιγγι. θεῶν δ᾽ ἕδος ἀγνὸς Ὄλυμπος.
Ἔν δ᾽ ἀγορὴ, τῷ δ᾽ ὄλβος ἀπείριτος ἐστεφάνωτο
Ἀθανάτων ἐν ἀγῶνι. θεαὶ δ᾽ ἐξῆρχον ἀοιδῆς
Μοῦσαι Πιερίδες, λιγὺ μελπομέναις ἐπιπρέπουσαι.

At erat in eo clypeo & immortalium chorus, in cuius medio,
Desiderabile quiddam personabat Iouis & Latonæ filius.
Aurea cithara. deorum autem sedes, purus Olympus.
Ibi & forum, circum autem opulentia infinita, quasi in corona erat posita
Immortalium in certamine. Deæ autem incipiebant cantum
Musæ Pierides, canorum quiddã canentibus similes.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Ἐν τούτοις (φησὶν) ἦν καὶ θεῶν πλῆθος, καὶ ἐχόρευον· ἐν μέσῳ δὲ τῷ χορῷ, ἐκαθέζετο ὁ Ἀπόλλων ὁ υἱὸς τῆς Λητῦς, καὶ τῦ Διὸς, ἐν χρυσῇ λύρᾳ. ἦν δὲ καὶ ὁ ἀγὼν ὁ οἰκος τῶν θεῶν ὁ ἁγὸς καὶ καθαρὸς· καὶ δὲ καὶ ἀγορὰ, ἤγουν συνέδριον θεῶν. κύκλῳ δὲ ἦσαν ὁλόλυγι στεφάνῃ, πλήρης πολύς. αἱ Μοῦσαι δὲ αἱ ἐν τῇ Πιερίᾳ τῷ ὄρει τῆς Θηβῶν κατοικοῦσαι, ἐξῆρχον τῆς ᾠδῆς, ὅμοιαι ὦσι ταῖς μελπομέναις.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Χρυσείῃ φόρμιγγι.] λιγὺ (φησὶν) ἐκεῖ ὄλυμπος, καὶ ἀγορά· ἐκεῖ δὲ τὸν ἀγορὰν καὶ τὸν ἀγῶνα οἱ αὐτοὶ τοὺς θεοὺς ἦν μέγας ὄλβος, ὡς αὐ ποικιλία μεγαλόψυχος.

Ἐν δὲ λιμὴν εὔορμος ἁμαιμακέτοιο θαλάσσης
Κυκλοτερὴς ἐτέτυκτο παναίολα κάλλιπτρα,
Κλυζομένῳ ἴκελος. πολλοὶ γε μὲν ἀμμέσον αὐτῦ
Δελφῖνες τῇ ἠὲ τῇ ἐθέλοντες ἴχθυσσαν,
Νηχομένοις ἴκελοι. δοιοὶ δ᾽ ἀνεφυσιόωντες
Ἀργύρεοι δελφῖνες ἐθοίνων ἔλλοπας ἰχθῦς,
Τῶν ὑπὸ χάλκειοι ἕστασαν ἰχθύες, αὐτὰρ ἐπ᾽ ἀκταῖς
Ἧστο ἀνὴρ ἁλιεὺς δεδοκημένος· εἶχε δὲ χερσὶν
Ἰχθύσιν ἀμφίβληστρον, ἅπερ ῥίψοντι ἐοικώς.

In eo autem & portus appulsu facilis immensi maris,
Rotundus factus erat liquefacto e stanno,
Inundanti similis: multi vero per medium ipsius
Delphines hac atq; illac ferebantur piscibus inhiantes,
Natantibus similes. Duo autem sursum efflantes
Argentei delphines, depascebant mutos pisces.
Sub his æuel trepidabant pisces, sed in tipis
Sedebat vir piscator obseruans: habebat autem manibus
Piscium rete, proiecturo simile.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Ἐν τούτοις (φησὶν) ἦν καὶ λιμὴν εὔορμος θαλάσσης ἀχλύος, στρογγύλος, καὶ πεποικιλμένος ἐκ παντοίων, ὅμοιος λιμένι κυμαινομένῳ. πολλοὶ δὲ δελφῖνες εἰς τὸ μέσον αὐτῦ ἐφέροντο, ὅμοιοι νηχομένοις ἰχθύσι, ὅμοιοι τοῖς κολυμβῶσι. δύο δὲ δελφῖνες ἐξ ἀργύρου κατεσκευασμένοι ἀναφυσῶντες ἐσθίοντες ἰχθῦς, οἳ ὑπῆρχον ἐκεῖ ἔλλοποι· καὶ οἱ ὑπὸ χαλκῦ κατεσκευασμένοι ἰχθῦς. ἦν δὲ τοῦ λιμένος ἐπιβάθρα ἀλιεὺς καθήμενος, ὃν τοὺς ἰχθύας ἐπιρέπει

ἐπιρέπει

ἐκφέρει ἢ εἰς τὰς χεῖρας αὐτῆ δίκτυον ἐχθύων, ἅμα δ' ἂν τῷ μέλλοντι ἔψειν δίκτυον.

ἀμμέσων.] ἤγουν ἀνὰ μέσον, καὶ συνεκόπη τὸ ά· τὸ δὲ ν ἐπιτάσεως χάριν ἐπεβλήθη· σύμφωνον τὸ μ· ἔστι καὶ τὸ κατέβαλε κάββαλε, καὶ τὸ κατέπεσε κάππεσε καὶ ἕτερα. ἀναφυσιόωντες,] ἀναφυσῶντες· σημείωσαι ὅτι ἐν ταῖς μετοχαῖς ἐπίθετος τοῦ ω, εἰ μὲν ἔχει τὸ ο βραλλόγωνον βαχεῖαν, βαχεῖα καὶ τὰ ἑξῆς τοῦτον ὁ, οἷον πλεθόων, φυσόων· εἰ δὲ μακραὶ, ἐκτείνει καὶ ἀμφότερα, αὐδάων.

ἐδαίετο.] ἐτήκετο, δαιτάω δαιτῶ τὸ διαχωνεύω, καὶ ὁ δαιτατικὸς ἐθοίπαον, ἐθοίπων, τὸ μέσον τῆς πληθυντικῶν ἐθοίπων. ἧσο] καθέζου, καθίζω τὸ κάθημαι, ὁ μέλλων ἕσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧσμαι, ὁ ὑπερσυντέλικος ἥμην, ἧσο, ἧστο.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

παντόθεν χαριτόφρων.] τὰ διαλελυμένα καὶ ὑγρὰ τῇ φύσει, ἢ παναπάλα. Ἡρόδοτος δὲ ἀέρθεν φησί. παντόθεν δὲ, διὰ τὸ ὑγρὸν εἶπε καὶ δύπτιπτε τὰ ὑσία. Ἰχθῦσιν ἀμφίζληστον.] νεωτερικὸν τὸ μνώσκειν τῇ ἀμφιβλήστρῳ χρῆσιν. ἀρχαῖον δὲ Ὅμηρος, ἐξαγκιστρόμενος εἶδεν.

Ἐν δ' ἦϊε κόρυς Δαναΐς τέκος ἱππιόχαο Περσεύς,
Οὔτ' ἄρ' ὑπερθύων σάκεος ποσὶν, οὔθ' ἁπαλοῖσιν,
Θαῦμα μέγα φρονέοντα θ', ἐπεὶ ἀδαμῆ ἐκέκαστο.
Τὼς γάρ μιν παλάμῃσι τόδ' ἔκλυτος Ἀμφιγυήεις
Χρύσεον· ἀμφὶ δὲ ποσσὶν ἔχε πτερόεντα πέδιλα.
Ὦμον δὲ μὲν ἀμφὶ μελαίνετον ἄορ ἔκειτο
Χάλκεον ἐκ τελαμῶνος· ὁ δ' ὦκα νόῳ ἐποτᾶτο.
Πᾶν δὲ μεταφρένων εἶχε κατὰ δηρὸν πολεμιστὴν
Γοργοῦς, ἀμφὶ δέμνιον κίδνυσιν θέης, θαῦμα ἰδέσθαι,
Ἀργυρέαι. θύσθλαι δὲ κατηωρεῦντο φαειναὶ
Χρύσεαι· δεινὴ δὲ περὶ κεφαλῇφιν ἀήκτου
Κεῖτ' Ἄϊδος κυνέη, νυκτὸς ζόφον αἰνὸν ἔχουσα.
Αὐτὸς δὲ σπεύδοντι καὶ ἐρρίγοντι ἐοικὼς
Περσεὺς Δαναΐδης ἐπεφαίνετο. ταὶ δὲ μετ' αὐτὸν
Γοργόνες ἄπλητοί τε καὶ ἄφραστοι ἐρρώοντο,
Ἱέμεναι μάπτειν. δεδὲ δὲ χλωρῷ ἀδάμαντος
Βαιτεόων ἰάχησε σάκος μεγάλῳ ὀρυμαγδῷ
Ὀξέα καὶ λιγέως· δεδὲ δὲ ζώοντε δράκοντε
Δοιὼ ἀπηωρεῦσθ', ὑπαὶ κυρτώσαντε κάρηνα.
Λίχμαζον δ' ἄρα τώγε· μένος δ' ἐχάραξαν ὀδόντας.

In eo autem erat & pulchricomæ Danaes filius eques Perseus,
Neq. quidé contingens clypeũ pedibus, neq. lõge separatus ab illo.
Miraculum magnum dictu: quoniam nusquam insistebat illi.
Ita enim ipsum manibus fecerat inclytus Vulcanus,
Aureum, circum pedes autem habebat alata talaria.
Ex humeris autẽ circa eum vagina inclusus nigra ensis pẽdebat,
Æreus de loro: ipse autem velut cogitatio volabat.
Totum autem tergum eius tenebat caput sæui monstri
Gorgonis circum ipsum autem pera ferebatur, mirum visu,
Argentea, fimbriæque dependebant lucidæ,
Aureæ. sæua autem circum tempora regia
Posita erat Orci galea, noctis caliginem grauem habens.
Ipse autem properanti & formidanti similis
Perseus Danaides extendebatur. post ipsum vero
Gorgones inaccessæ & ineffabiles ruebant,
Cupientes ipsum apprehendere. in viridi autem adamante
Euntibus ipsis resonabat clypeus magno strepitu
Acutum & tinnulum. quippiam. in aonis autem dracones
Duo suspensi erant, attollentes capita.
Lambebant autem illi, iraque infrendebant dentes.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Ἐν τούτοις δέ (φασιν) ἰὼ ἐξαγκιστρωμένος καὶ ὁ Περσεὺς τὸ γένημα τοῦ Δαναὸς, ἔτι ἀπήμονος τοῦ ἀσπίδος, ἔτι ἀκόνης τοῦ ἀσπίδος, θυμαδὸν ἦρτο, ἐπεὶ ἀδαμὰς ἦν ἠσκημένος· ἔτι γὰρ ὁ τεχνίτης αὐτὸν κατεσκεύασεν, ὥστε δεινὸν μὴ ἐστᾶναι ὅτι πρὸς ὃ ἔτυχε κατεσκεύασεν ὁ Ἥφαιστος τὴν Περσέως χρυσοῦν· ἐφόρει γὰρ ἀστραπὴν πρόσωπον· ἐν δὲ τοῖς ὤμοις ἔκειτο ξίφος ἀρμόν-

χρεμάμενον ὑπὸ λώρου. Ὦμοισιν δέ μιν.] ἤτοι συντάσσει· ἀμφίκειτο δέ μιν, ἤγουν περὶ αὐτὸν ἔκειτο, πῦ, ἐν τοῖς ὤμοις, ἄδορ καὶ ξίφος μελαίνδετον· καθ' ὑφάρπαστον γὰρ συντάσσει ἡ ἀμφί· εἴη δ' ἂν μελαίνδετον, ἢ τὸ μέλαναν δίκην ἔχον, ὡς ἐν δέρματος κατασκευασμένῳ, ἢ τὸ ἐν μέλανος σιδήρου δεδεμένον. ὁ δὲ Περσὸς ὥσπερ νόημα ἐπέπτετο· ἰδὲν γὰρ ταχύτερον τῆς διανοίας. τὼ ῥάχιν δὲ αὐτῆς πᾶσαν περιελάμβανεν ἡ κεφαλὴ τῆς δεινῆς θηρὸς Γοργόνος· περιῆχε δὲ ἡ κεφαλὴ σακκούλιον ὠγυρόεν.

τὸ δὲ [ἀμφὶ δέ μιν] ἤτοι συντάξεις· ἀμφίεστο δέ, ἤγουν περιελάμβανε καὶ περιῆχέ μιν, καὶ αὐτὼ τὼ κεφαλὼ τοῦ Γοργόνος κίβισις ἐκρέμαντο ὑπὸ τῆς σακκυλίου χρυσοῖ. εἰς δὲ τὴν κεφαλὴν αὐτῆς ἔκειτο ἡ περικεφαλαία τοῦ Ἄϊδος, μέλαινα οὖσα. αὐτὸς δὲ ἔφαγεν εἰκὼς φοβερὸν ὄφιν. ὅπισθε δὲ ἐκείνου ἐδίωκον αἱ Γοργόνες, ὁρμῶσαι καταπιεῖν αὐτόν. τὸ δὲ ἐφώρτο δὲ χθὶ διάφορον, αὐτὶ τοῦ δίωκτος ὤρμων. κινουμένων δὲ αὐτοῦ ὅτι τὸ λαμπρὸν ἀδάμαντος, ἦν ἀποτέλεια ἡ ἀσπίς. ὅτι δὲ ταῖς ζώναις τοῦ Γοργόνος δύο δράκοντες ἐκρέμαντο, κυρτουμένης τῷ θυμῷ τὰς κεφαλάς, ἐκείνους δὲ τοὺς γένυς καὶ τὰ γλωσσάρια ἔτοι οἱ ὄφεις ὡς λείξοντες. ἐν ὀργῇ δὲ συνέκρουον τοὺς ὀδόντας, ἀχρεῖος βλέποντες αἱ δὲ τοῦ Γοργόνων κεφαλαὶ λίαν ἦσαν φοβεραί.

ἱππότα.] ἤγουν ἱππότης. ἡ κλητικὴ αὐτὸ εὐθεῖα. ἔστι δὲ (ὡς εἴρηται) οὗτος τοῦ πάππου Δρυόπου καὶ Αἰολέως, καὶ Βοιωτοῦ. κλυτὸς.] ὁ κλεητὸς, ἤγουν ὁ ἔνδοξος, καὶ κλυτὸς ἤγουν ὀνομαστός. ἐκ αὐτοφώρου δέ, ἐὰν δὲ εἴπῃς κλυτὸς, ἤγουν ὀνομαστὸς, οὕτως καὶ κλεητὸς, ἤγουν ἔνδοξος· πολλαὶ γὰρ ὅτι κοιναὶ ὀνομασίαι. Ἀμφιγυήεις.] ἀμφιγυήεις λέγεται ὁ χωλὸς ὁ ἐξ ἀμφοτέρων διαλαβὴν τοῦ γόνου, ἤγουν τοῦ ποδὸς, πεπηρωμένος. γίνεται γοῦν ἀμφιγυήεις, καὶ περισπᾶται τὸ ὁμοίως εἰς ἡ, ἀμφιγυήεις, ὥσπερ χάεις χαείης, τιμὴ τιμῆς, αὔγλη αὐγλῆς. ἄορ.] ἄορ, τὸ ξίφος, κυρίως δὲ ἡ σπάθη· ἐτυμολογηθείη δ' ἂν ἀπὸ τοῦ αἴρω τὸ φονεύω, ἢ ἀπὸ τοῦ ἀστερητικοῦ καὶ τοῦ ὁρῶ, τὸ ποιοῦν τὸν ἄνθρωπον μὴ ὁρᾶν· ἀφεκτικὸς γὰρ ἔμποιητικὸν πάντος ξίφους. ἐν πλαμῶνος.] πλαμὼν, ὁ λῶρος ὁ ἀναφορεὺς τοῦ ξίφους καὶ τὸ ἰσχίον, ἀπὸ τοῦ πλάω τὸ κερδαίνω, ὡς καρπικὸς, καὶ ἰσχυρὸς, καὶ βαστακτικός.

Πᾶν δὲ μετάφρενον.] φρένες, οὐ μόνον ὁ λεγόμενος, ἀλλ' ἅπαν τὸ ὑμὼ τὸ ὑποζωκὸς καλούμενος. τὸ γοῦν μὲν τὰς σωματικὰς τοὺς φρένας κατέχοντι ἐν τῇ ῥάχει μέρος τοῦ σώματος, μετάφρενον λέγεται, κατὰ χρηστικῶς δὲ καὶ πᾶσαν τὴν ῥάχιν μετάφρενον λέγουσιν. Γοργοῦς.] οὐ μόνον ἡ Γοργὼ τοῦ Γοργόνος, ἀλλὰ καὶ ἡ Γοργὼ τοῦ Γοργοῦς, ὡς τοῦ Σατροῦς, ὅτω καὶ ἀμδόνος καὶ ἀμδοῦς, καὶ χελιδόνος καὶ χελιδοῦς.

κίβισις.] κίβισις, ἤγουν κιβωτὸς, ἡ πήρα ἀγροτική. θαῦμα ἰδέσθαι.] ἤγουν θαυμαστὸν εἰς τὸ ἰδέσθαι καὶ θαύσασθαι αὐτῷ τινά. δύσονται.] παρὸ σπανίως δύσονται τὰ πτερά, ἐνταῦθα δὲ δύσονται οἱ προσωποί, ἤγουν τὰ ἰδιωτικῶς λεγόμενα κομβία, ἤγουν κυμβία, ἀπὸ τοῦ δύω τὸ ὁρμῶ, διὰ τὸ εὐκίνητον καὶ εὐσάλευτον. σὺν προτάφοισιν.] προτάφους ἐνταῦθα τοὺς περὶ αὐλὸν ἅλων τόπους, ἀπὸ μέρους τὸ πᾶν· πρόταφος γὰρ κυρίως ἡ μεταξὺ τοῦ ὠτίου καὶ τοῦ ὀφθαλμοῦ. τὸ [Ἄϊδος] ἢ χθὶ μεταπλασμὸν γέγονεν ἀπὸ τοῦ Ἄϊδω, ἤ ἐνθεία ὁ Ἄϊδος, ἡ κλητὴ Ἄϊ Ἄϊδος, ὡς Παεὶς Παείδος· γίνεται δὲ Ἄϊς ἀπὸ τοῦ στερητικοῦ καὶ τοῦ εἶδω εἶσω τὸ βλέπω, χθὶ ἀποκοπὴν καὶ συνολισθήν. ὥσπερ ἀπὸ τοῦ πὶ στερητικοῦ, καὶ τοῦ εἶδω εἶσω τὸ γνώσκω, πῖς, ὁ ἄγνωστος. τὸ [ἐρύγοντι] ἤτοι καταπίνοντι. εἰγέω εἰγῶ παρατηρητέον, ὁ μέσος ἀόριστος ἔρριγα καὶ ἐν τούτῳ δῆλα ἐρρίγω, ἤγουν μετοχὴ ὁ ἐρρίγων τοῦ ἐρρίγοντος. ἤγουν τρέμοντος. εἰγέω, ῥιγῶ τὸ ψύχομαι· εἰγέφ εἰγῶ τὸ φέρω. ἐτιταίνετο.] τείνω τὸ ἁπλῶς δίφθογγον, τιταίνω δὲ ὁ σημαίνει τὸ αὐτὸ, ἐ συστέλλεται δὲ διὰ τὸν ἀναδιπλασιασμόν. ἐρρώοντο.] ἔστιν ὄνομα θηλυκὸν ἐρωὴ ἡ ὁρμή, καὶ ἐκ τούτου ῥῆμα ἐρωέω ἐρωῶ, καὶ τὸ παθητικὸν ἐρωοῦμαι ἐρωῦμαι, καὶ ὁ παρατατικὸς ἐρωούμην, τὸ πρῶτον τῆς συνηθεστικῆς ἐρώεσκον, καὶ συγκοπῇ τοῦ ἐρώοντο. αὐξάνει δὲ χορικῶς κατ' ἐπένθεσιν τοῦ ρ', ὥσπερ καὶ τὸ ἔρδω τὸ πράττω ἔρδον ὁ παρατατικὸς, φησὶ τὸ,

Ἔρδον δ' Ἀπόλλωνι τελείας ἑκατόμβας. τὸ [μαιέφ] εἰς δύσπαρον ἄφεστον, ἀπὸ τοῦ μαίομαι, τὸ καταλαμβάνω γίνεται μαρτεῖν, καὶ ἀποβολῇ τοῦ ρ' μαιέφηκαν ἐνέπτασαν· καὶ τὸ ἐβαιωσέων] ἤτοι ἐπέπτασαν ἔχει τὸ ε. Δεινὸν ἀναμαίνετ'.] τὸ θέμα, ἀναμαῶ, τὸ κρεμῶ, καὶ τὸ παθητι-

παθητὴν αἰωρῶμαι, καὶ ἀποβατικὸς ἀφορμίλιω. τὸ, σεῖον τῶν πληθυντικῶν παραγωγῶν καὶ ἀπηρέμητο Αἰολικῶς, καὶ ἀπαρέμητα. ἐπικυρτόοντα κάρηατα.] ἡ κάρη καὶ κρὰς, καὶ τὸ κάρη καὶ τὸ κάρηνον.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

ἐκπέπληκτο Περσῶν.] κατὰ τὰς γλωσσογράφους, ἐκπόλιν ἄκουε τὴν φυγάδα. ἐπεὶ ὁ πάππος Ἀκρίσιος ἐξέβαλεν αὐτὸν, ἀφ' οὗ εἰσάγει ἐκπεφευγότα ὁ Περσεύς. Παῖ ἦ μετάφρενον.] τιτύσκω γὰρ τὸν τόξον ὀπίσω συγκατεῖχεν. Ἄλλως. ἐβάσταζεν ἐν δικτύῳ τινὶ ἀγγείῳ τὴν κεφαλὴν τῆς Γοργόνος ὁ Περσεύς· τὸ δὲ ἀγγεῖον ἐκεῖνο ἔσκιπα τὸ μετάφρενον αὐτῷ. ἀμφὶ δὲ μιν κίβυσις.] κυβωτὸς ἢ πήρα κίβυσις εἴρηται, ἀπὸ τοῦ ἐκεῖ κεῖσθαι τὸν βόσιν ἢ παρὰ τὸ κίειν τὸ πορεύεσθαι καὶ ὁρμᾶν· ἢ εἰς τὸ κίειν καὶ ἰέναι βόσιν ἔχουσα, πυτέσι ζοφίῳ. Κεῖτ' Ἀΐδος.] ἐδείκνυτο δὲ ὅτι τὴν κεφαλὴν τῆς Γοργόνος, ἣν ἐγὼ ἀόρατόν, ὅπερ δέδωκε αὐτῷ ἡ Ἀθηνᾶ, τὸ μὴ θεωρεῖσθαι αὐτὸν ὑπὸ τῆς Μεδούσης, ἵνα μὴ πρὸς θάνατον ὁρᾷ φησὶ τὴν Γοργόνων καὶ Ἀπόλλωνα. τινὲς κεφάλιον καὶ ἀόρατον ἐδέξαντο. Αὐτὸς δὲ ἀνέδυτο.] ἐπανέδυ, ἐφορεῖτο. εἰς δὲ φεύγων ἐφαίνετο τὰς Γοργόνας αὐτὸς δὲ ἐδίωκον πεφυμένας καταλαβεῖν. μένε δ' ἐχάρασσον.] τῇ ὀργῇ ἦ, εἰς αὐ ὑπὸ τῆς μανίας τὰς ὀδόντας αὐτῶν ἐν τῇ σάρκι ἐχάρασσον δάκνοντες. ὀφιόστιχες δὲ εἰσιν.

Ἄγρια δερκομένω· ὑπὲρ δὲ δεινοῖσι παρηίοις
Γοργείοις ἐδονεῖτο μέγας Φόβος· οἱ δ' ὑπὲρ αὐτέων
Ἄνδρες ἐμαρνάσθην πολεμήια τοῦ χε ἔχοντες.
Τοὶ μὲν ὑπὲ σφετέρης πόλιος σφετέρων τε τοκήων
Λοιγὸν ἀμυνόμενοι· τοὶ δὲ φρασθέντες μεμαῶτες.
Πολλοὶ μὲν κέατο, πλέονες δ' ἔτι δῆριν ἔχοντες
Μαρνάσθ· αἱ δὲ γυναῖκες εὖ δμηκτοῖσι τύρσῃσιν
Χάλκεον ὀξὺ βόων, καὶ δ' ἐδρύπτοντο παρειὰς
Ζωπῷσιν ἴκελαι, ἔργα κλυτοῦ Ἡφαίστοιο.
Ἄνδρες δ' οἱ γεραιότατοι ἔσαν, γῆράς τε μιάρπτον,
Ἀθρόοι ἐκ τοῦδε πυλέων ἔσαν, ἀμφὶ δὲ θεοῖσι
Χεῖρας ἔχον μακάρεσσι, σφεῖ σφετέροισι τέκεσσι
Δειδότες· τοὶ δ' αὖτε μάχην ἔχον. αἱ δὲ μετ' αὐτὰς
Κῆρες κυαναῖαι λοιγοὺς ἀραβεῦσαι ὀδόντας,
Δεινωποὶ, βλοσυροί τε, δαφοινοί τ', ἀπλητοί τε,
Δῆριν ἔχον ὀφέλειν πιπόντων. πᾶσαι δ' ἄρ' ἔβην
Αἱματόεσσαν πίσσαν. ὃν δὲ πρῶτον μεμάποιεν
Κείμενον ἢ ὑσπαῖρα νεήτατον, ἀμφὶ μὲν αὐτῷ
Βάλλ' ὄνυχας μεγάλας. ψυχὴ δ' αἰδόσ δὲ κατεῖσα
Ταρτάρου ἐς κρυόεντ'. αἱ δὲ φρένας εὖτ' ἀρέσαντο
Αἵματος ἀνδρομέου, τὸ μὲν ῥίπτασκον ὀπίσω,

Crudele tuentes. supra ſæua autem capita
Gorgonum agitabatur magnus terror, ac ſupra ipſas
Viri pugnabant, bellica arma habentes.
Hi quidem pro ſua ciuitate, ſuiſque parentibus,
Peſtem depellentes: illi autem depopulari ſtudentes.
Ac multi quidem iacebant, plures autem etiam pugnam tenentes.
Dimicabant. mulieres autem a bene conſtructis turribus
Æreum acutum clamabant, lacerabantque genas,
Viuis ſimiles, opera inclyti Vulcani.
Viri autem qui ſeniores erant, & ſenectutem apprehenderant,
Conſerti extra portas ibant, ſurſumque diis
Manus tendebant beatis, pro ſuis liberis
Memuentes. illi a contra pugnam conſerebant. poſt ipſos autem
Parcæ nigræ candidis crepantes dentibus,
Torui terribilesque, cruentæque, inacceſſæque
Certamen habebant de iis qui cadebant: omnes enim cupiebāt
Cruorem nigrum bibere. Et quem primum ſorte ceperant
Iacentem & cadentem recens ſaucium, et quidem
Injiciebant vngues magnos, animaque ad Orcum abibat,
Tartarum in frigidum. illæ autē præcordia poſtquā exacta eſſent
Sanguine hominis, ipſum quidem abiiciebant poſt tergum.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Υ̓περάνω δέ (φησι) τὴν Γοργόνων, ἐν τῇ πλάτῃ τῆς ἀσπίδος, ἄνδρες ἐμάχοντο μεθ' ὅπλων· οἱ μὲν μαχόμενοι ὑπὲρ τῆς ἰδίας πόλεως, καὶ ὑπὲρ τῶν ἰδίων γονέων· οἱ δ' ὁρμῶντες πορθῆσαι τὴν πόλιν, πολλοὶ μὲν ἔκειντο ὑπ' ἐκείνων, οἱ πλείονες δὲ ἐμάχοντο ἔτι, αἱ δὲ γυναῖκες ἐπάνω τῶν πύργων ἱσάμεναι μέγα ἐβόων καὶ ἐθρηνοῦσαν. κατέξεον δὲ τὰς παρειὰς, ζώνας ὄμνυσαι. ὅπερ ἦν ἔργον τῆς κλυτῆς Ἠφαίστου, ἤγουν ἐπιτήδευμα καὶ σόφισμα τοῦ κατασκευάσαντος τὴν ἀσπίδα. ἄνδρες δὲ γέροντες ὁμοῦ ἀπὸ τῆς πύλης τῆς πόλεως ἐξῆλθον. ὑψουν δὲ τὰς χεῖρας αὐτῶν πρὸς θεοὺς ὑπὲρ τῶν τέκνων αὐτῶν φοβούμενοι· οἱ δὲ παῖδες αὐτῶν ἐμάχοντο. αἱ δὲ κῆρες, ἤγουν αἱ θανατηφόροι μοῖραι, μέλαιναι ἦσαν καὶ τὴν ζοφεράν, ὀπίσω τῶν μαχομένων ἵσταντο πρὸς τοὺς ὀδόντας. φοβεραὶ δὲ καὶ φοινικαῖ καὶ ἄχραντοι ἦσαν ἐμάχοντο ὑπὲρ τῶν πιπτόντων, ὁρμῶσαι ὡσεὶ γύπες ἢ κόρακες εἰς τὰ πτώματα ἐπιθύμουν πιεῖν αἷμα ῥεκεμμένον, ὃν δὲ ῥῶτον κατέλαβον ἀνόρξωσιν, ὡς μὲν τῷ σώματι ἐκείνου ἐπήγνυον τοὺς μεγάλους ὄνυχας, ἡ ψυχὴ δ' ἐκείνου κατήρχετο εἰς ᾅδου τὸν ψυχρὸν καὶ ψυχρὸν τάρταρον. αἱ δὲ χεῖρες ἡνίκα ἐπλήσθησαν τοῦ ἀνθρωπίνου αἵματος, ἐκεῖνον μὲν ἐρείπιον ὠνόμασαν, ὑπέστρεφον δὲ εἰς τὸν πόλεμον πάλιν.

Τρεῖς φασὶν εἶναι τὰς μοίρας Ἕλληνες. Κλωθὼ, Λάχεσιν καὶ Ἄτροπον. τὴν μὲν ὡς ἐπικλωθοῦσαν ἑνὶ ἑκάστῳ τοῦ γένεσιν τὸ εἱμαρμένον. τὴν δὲ Λάχεσιν ἀπὸ τοῦ λαγχάνω, ὡς ἐπικληροῦσαν τῷ μὲν ἀγαθὸν, τῷ δ' ἐναντίον τὴν δὲ Ἄτροπον, ὡς πιθοῦσαν τὸ ἀποκληρωθὲν ἀμεταστρεπτον. τὸ [ἐμαντάδλω] ἀπὸ τοῦ μάσσω τὸ μάχομαι, ὃ τὸ παθητικὸν μάρναμαι. μαρτάω ἢ μιμνῶ τὸ μάχομαι, ἀπὸ τοῦ μὴ στρατικὸς μοεὶν καὶ τοῦ ἀρτῶ τὸ διαλλάσσω. ἐν ταῖς διαλλαγαῖς γὰρ οἱ παλαιοὶ ἄρνας ἔθυον. πολεμήϊα.] τὸ πολεμήϊον πολέμειον λέγουσι κτητικῶς, καὶ διαλύσει πολεμείου, καὶ ἐπτάσει πολεμήϊον. τοῦ [φραθέειν] τὸ ἐστιλὲς καὶ οἷον ὑμὲς, φραθεῖν, ἀπὸ τοῦ φέρδω εἰς δ ἄτερον μέλλοντα, ἐπὶ μετάθεσιν τοῦ φ, καὶ ἐπεκτάσει τοῦ ε φραθέειν. τὸ [κέατο] Ἰωνικόν ἐστι. τὸ μὲν γὰρ κοινὸν ἔκειντο, τὸ δὲ Ἰωνικὸν κέατο, καὶ ἀφαιρέσει κέατο, ἀπὸ τοῦ ηἵτο τὴν ἐνικῶν, ὡς πρὸς ἐπετύφατο, ἐπεποίατο. ὑμὲν δὲ· ἀναστίδει τὸ ά, ἀλλὰ καὶ ἡ ὀφελήκουσα συλλαβὴ χωρεῖ τὴν διπτῶν, τοῦ ποποίατο καὶ τὴν ὁμοίων.

δῆριν ἔχοντες.] δῆρις ἡ μάχη, ἀπὸ τοῦ δαίρω τὸ τύπτω. φρισσῆες.] ἴσως ὅτι φρίσσις ὁ γέρων ἡ κλίνει φρίσσυος, ὡς μονογενὴς, ἀλλὰ φρίσσεως, συνεξακολουθεῖν τῇ πήχεως καὶ πελέκεως. ἐπεὶ γὰρ διὰ τοῦ ω μεγάλου κλίνεται ταῦτα οἱ Ἀττικοὶ, ἀναγκαίως καὶ τὰ παρεληγοντα τὴν φωνήεντων εἰς ὁ μεταβάλλουσι τοῦτο ἡ δθεῖα τὴν πληθυντικῶν φρίσσεες, καὶ πλεονασμῷ τοῦ ι, ἡ προπῇ τοῦ ε εἰς ἡ, φρισσῆες, μεταλιβαζομένου καὶ τοῦ τόνου διὰ τὴν λογικὴν ἔκτασιν (ὡς πολλάκις εἴρηται) διαφορεῖται δὲ ἡ παρεληγουσα, ὥσπερ ἐν τῷ πιδνεὸς. καὶ γὰρ κἀκεῖ ἀπὸ τοῦ πιδνεὼς ἡ πλεονασμῷ τοῦ ι, ἡ κατὰ προπὴν τοῦ ε εἰς ἡ πιδνεὸς γίνεται, διαφορέμενον καὶ τὴν χαφλώ. τὸ [ἔσαν] ἀπὸ τοῦ ἧσαν καὶ τυπολώ. τὸ δὲ ἧσαν, ὃ σημαίνει τὸ ὑπῆλθον, ἀπὸ τοῦ εἶμι. τούτῳ γὰρ παρατατικὸς ἦν, τὰ πληθυντικὰ ἴμεν, ἴτε, ἴσαν. τὰ γὰρ εἰς μι ὅτι τῶν πληθυντικῶν καὶ παθητικῶν συνέλκυσι τὴν παρεληγουσαν. γῆρας τὸ μέμαρτον.] μάρτω τὸ καταλαμβάνω, ὁ μέλλων μάρψω, ὁ ἀόριστος ἔμαρψα, ὁ λύτρος ἔμαρτον, καὶ Ἰωνικῷ ἀναδιπλασιασμῷ, ἐμέμαρτον· τὸ τρίτον τῶν πληθυντικῶν, ἀφαιρέσει τοῦ ε, μέμαρτον.

Δηλότης.] δῆλον θέμα, ἀφ' οὗ γίνεται καὶ τὸ δηλόω, δήσω, δήδηκα· ὁ μέσος δήδια· δηδιὼς ἡ μετοχὴ, καὶ δηλιὼς κατ' ἔκτασιν. ἢ δείδω τὸ φοβοῦμαι, δείσω, δέδοικα· καὶ ἀφαιρέσει τοῦ κ, καὶ συκοπῇ τῆς ὀφελησίσης, δέδια. ἡ μετοχὴ κατ' ἔκτασιν, δηλιὼς. πᾶσαι δ' ἄρ'.] τὸ δὲ αὐτὶ τοῦ γάρ. ἀρη γὰρ τὸ δὲ αὐτὶ τοῦ γὰρ καὶ τὸ γὰρ αὐτὶ τοῦ δὲ, διὰ τὰ μέσα ὡσεὶ τὸ φραδέειν, ὅπου καὶ τὸ πιέειν πάθος ἔχει ἔκτασιν. ὅτι εἰς τὸ [Βάλλ' ὄνυχας] ἑνὸς μόνου κουφίζεται, ὥσπερ καὶ ἐν τῷ [πόσ' ἀπαλοῖσιν] ἰ. τὸ [κατῶσε] εἰς μέσον παρεκτεινόμενον, ὅπως· εἶω τὸ παρέρχομαι, ὁ μέλλων εἴσω, ὁ παρείμενος εἶκα, ὁ μέσος εἶα, εἶας, εἶσι· ἀφ' οὗ καὶ τὸ ἦα καὶ ἦλθον εἰς ὑφαντέλικον κατ' ἔκτασιν Ἀττικήν.

Τάρταρον εἰς κρυόεσθ'.] ὅτι τάρταρος, ἀπὸ τοῦ τείρω τὸ δαμάζω, ὁ δ' ὅπερ ἀδεν-

σος ἕταρον, τέρος γόνῳ), ἢ χτὶ αἰὲ διπλοῦσιν τέρταρος, ὥσπερ ἀπηόν ἀπαρτηόν, δάπεδον δαφοίνικα. αἱ δ' φρένας ἐῦτ' ἀρέσαντο.] ἄλλως [εὖτ' ἀφ' ἔσαντο] ἔσαντο, ἔω, τὸ πληρῶ. ὁ μέλλων ἔσω, ὁ ἀόριστος ἧσα ἢ ἔσα χτὶ συνολλὼ, ὁ μέσος ἐσάμην, τὸ πλέον πρὸ πληθυντικῶν ἔσαντο. ἀπὸ τούτου γίνεται ἢ τὸ ἔντο χτὶ συγκοπὴν, παρ' Ὁμήρῳ, ὡς τὸ ὀξὺ ἔροντο· ἢ τὸ ἔσαν εἰς ρωτον ἀόριστον, χτὶ συνολλύ.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Ἄνδρες δ' οἱ φρεσὶν.] οἱ φρεσὶν, οἱ φρεσὶ ταί, ὡς τὸ γῆρας κατέλαβεν. οἱ δὲ μεμάρπειν αὐτὸς τὸ γῆρας.) αὐτὶ τοῦ καταλάμβανε, τὸ δὲ φρεσὶν γέγονεν ἀπὸ τοῦ φρεσὶ δίν, ὅθεν ἴσως ἢ οἱ φρεσὶ ταί. Κῆρες κυανέας.) αὐτὶ τοῦ κυανοῦ ἐζωγραφημένας χτὶ τοῦ φοβερὸν, ὡς παρασκευαστικά. εὖτ' ἀρέσαντο.] σημαίνει δὲ τὸ ἐχορτάσθησαν, ἢ εἰς ἄρσιν ἢ πλήρωσιν ἦλθον, ἐξ ὧν ἢ τὸ ἀορίστου ἐδωδῆς, αὐτὶ τοῦ κεκορεσμένον τροφῆς. ἀρέσαντο ἂν ἐκορέσαντο.

Ἀψ δ' ὄμαδον καὶ μᾶλλον ἐβήσαν αὖτις ἰοῦσαι,
Κλωθὼ καὶ Λάχεσίς θ' ἅμα ἑσπομένη· ἡ μὲν ὑφήνων
Ἄτροπος, οὔπω πάλαι μεγάλη θεὸς, ἀλλὰ καὶ ἔμπης
Τῶν γε μὲν ἄλλάων προφερὴς τ' ἦεν προβυτάτη τε.
Πᾶσαι δ' ἀμφ' ἑνὶ φωτὶ μάχην ὁρμήιαν ἔθεντο.
Δειναὶ δ' ἐς ἀλλήλας δράκον ὄμμασι θυμήναται,
Ἐν δ' ὄνυχας χείρεάς τε θρασείας ἰσώσαντο.
Παρ' δ' Ἀχλὺς εἱστήκει ὀδυσμυγερή τε καὶ αἰνὴ,
Χλωρὴ, αὐσταλέη, λιμῷ καταπεπτηῶσα,
Γουνοπαχὴς· μακρὼ δ' ὄνυχες χείρεσιν ὑπῆσαν.
Τῆς ὧν μὲν ῥινῶν μύξαι ῥέον, ὧν δὲ παρειῶν
Αἷμ' ἀπελείβετ' ἔραζ'· ἡ δ' ἀπλητὸν σεσαρυῖα
Εἱστήκει· πολλὴ δὲ κόνις κατενήνοθεν ὤμους,

Retro autem in tumultū & ſtragem feſtinabant iterum ire,
Clotho & Lacheſis ipſis aſſabant, atque paulo minor
Atropos: neque enim erat magna dea: ſed tamen
Aliis quidem præſtantiorq. erat, & æuo grandiſſima.
Omnes autem circa vnum virum pugnam acerbam inſtituerant.
Sæuoq. modo ſeipſas mutuo aſſpiciebant, oculis ſuccenſentes,
Inter ſe autem vngues manuſque audaces exæquabant.
Iuxta autem & Caligo ſtabat, peruſtæ ſimilis, & grauis,
Pallida, aridaque, fame exhauſta, & compreſſa,
Craſſipes: longique vngues a manibus prominebant.
Huius quidem ex naribus mucus manabat; ex genis autem
Cruor deſtillabat in terram. ipſa a. terribiliter dentes ſtringens
Stabat, multuſque puluis conſtrauerat ei humeros,

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Σὺν τούτοις δέ (φησιν) ἵσαντο ἐζωγραφημέναι ἐν τῇ ἀσπίδι καὶ αἱ μοῖραι. λέγω δὲ ἡ Κλωθὼ, καὶ ἡ Λάχεσις. ἡ μέν τοι Ἄτροπος, ἡ καὶ αὐτὴ μοῖρα ἐστὶν, ἐλάττων ἦν, ἐ μεγάλη, ἀλλ' ὅμως πρὸ ἄλλων θεαινῶν μεγαλοτέρα ἦν καὶ ἀρχαιοτέρα, πάσαι δὲ αἱ μοῖραι ἕνεκεν ἑνὸς νεκροῦ, πόλεμον ἐποίησαν ἰσχυρὸν, καθάπερ γύπες ἕνεκεν πτώματος. θεὰς ἀλλήλας δὲ ἔβλεπον δεινῶς. ἐνέβαλον δὲ χεῖρας καὶ πόδας θεὰς ἀλλήλας μαχόμενας. πλησίον δὲ τῆς μοιρῶν ἵστατο ἡ ἀχλὺς, ἣν ἐγὼ, ἤγουν ἡ ὀδὴ θανάτου σκότωσις, ἦν καὶ αὐτὴν θεοποιεῖ ὁ ποιητής. ἦν δὲ κεκαυμένη καὶ ἀθλία, καὶ τὸ χρῶμα κιτρίνη, κατάξηρος, συμπεπτωκὸς ἔχουσα τὸ πρόσωπον ὑπὸ τοῦ λιμοῦ· παχύτης, ἣν ὑδρωπικὰς ἔχουσα· μακρὺς ὄνυχας, ἣν ἀτημέλητος. ἧς ἐκ τῆς εἰνῶν μύξαι ἔρρεον, ἐκ δὲ τῆς στόματος ἐχεῖτο εἰς γῆν αἷμα. ἡ δὲ καταπολὺ σκληλυμένη ἵστατο. πολὺ δὲ χῶμα ἐπέρρωγε τὰς ὄψεις αὐτῆς, ὡς ἀῤῥώστου καὶ ἀτημελήτου. ἦν δὲ καὶ ἐν δάκρυσι διάβροχος. συντάσσεται δὲ καὶ τοῦτο καθ' ὑπερβατόν, ὅτως· ἡ δὲ ἀχλὺς εἱστήκει, ἀπλήτως καὶ μεγάλως σεσαρυῖα καὶ σκληλυμένη, μυδαλέα καὶ διάβροχος ἦσα ἐν δάκρυσι. πολὺ δὲ χῶμα ὑπὲρ τοὺς ὤμους αὐτῆς ἔκειτο. ταῦτα δὲ πάντα ἀμβλύνει τοῖς ἐγγὺς θανάτου ἦσι, καὶ ἀῤῥωστοῦσιν, ἢ καὶ ἄλλως πως κακῶς ἔχουσιν. Ἄψ δ'] ἤγουν ὀπίσω, γινόμενον ἀπὸ τοῦ ὀπίσω χτὶ ἔκ-

ϑλιψιν τῦ ὁ μικρῦ, κὴ βοωπὶν Δωεικὼ τῦ ὠ μεγάλυ εἰς ά, κὴ κεῦσιν τῦ π' κὴ σ' εἰς ψ', σεσχαφομένυ κατὰ πνας κὴ τῦ ί. μῶλον.] ὁ πόλεμος, ὁ μὴ ὅλυς ποιῶν τὺς ἀνθρώπυς, ἀλλὰ κολοβύς. δρᾶκον.] τὸ θέμα, δέρκω τὸ βλέπω, ὁ μέλλων δέρξω, ὁ ἀόριστος ἔδερξα, ὁ δεύτερος ἔδρακον, κὴ μεταθέσει τῦ ά, ἔδεγκον, κὴ ἀφαιρέσει τῦ ἐ δρᾶκον. αὐσαλέη.] ἡ καταξηρά, ἀπὸ τῦ αὕω αὔσω τὸ φλογίζω. αὐσαλέα κὴ αὐσαλέα τροπῇ Δωεικῇ τῦ ἑ εἰς ά. τὸ [καταπεπηγᾶ] κὴ ἀπὸ τῦ πήγνυω τὸ μὴ φόβῳ κεῖμαι, κὴ ἀπὸ τῦ πῆμι, βοπὴ τῦ ω μεγάλυ εἰς η. εἰς ᾶ βαρυνόμενον ἀποβολῇ τῦ ι. καταπεπηγώς ὃ λέγεταί πις ὑπὸ λιμῦ, ὁ τὰς σάρκας κοιλανθεὶς κὴ ὑποδυθείς. τὸ [σεσαγᾶ] ἐν ταὐτὰ ταυτὸ δηλώσαται τῷ καταπεπηγᾶ. σαίρω γάρ ὅτι τὸ μυδιῶ, ὁ μέλλων σαρῶ, ὁ μέσος παρακείμενος σέσηρα κὴ σέσαφα· σεσηρᾶναι, ἤγουν ἀκούσιόν τι μειδίαμα πάσχουσα, κὴ οἱονεὶ χαίνουσα ὑπὸ λειποσαρκίας, κὴ τ' τῦ δέρματος ῥυπδώσεως. κατηνόθεν.] τὸ θέμα, θέω τὸ τρέχω, κὴ μ τ' ν θεμθέσεως ἐνθέω, κὴ χρ μετάθεσιν ἐνέθω· ὁ μέλλων ἐνέσω, ὁ παρακείμενος ἤνεκα, ὁ μέσος ἤνοδα, κὴ Ἀττικῶς ἐνήνοθα, ἐνήνοδας, ἐνήνοθεν, ἤγουν ἐπέπτερχεν.

ΙΟΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Κλωθὼ κὴ Λάχεσις.] ἡ μὲν Λάχεσις ἐν αὐταῖς ἐλαχιστοτέρα ὢν τῆς Κλωθῦς, κὴ τῆς Ἀτρόπυ, ἀλλ' ὅμως πρεσβυτέρα κὴ προφερεστέρα. καταπεπηγᾶ·] κατεσκληκῦα, δύσκολον. τοῖς γὰρ φοβυμένοις προσχέπτει.

Δάκρυσι μυδαλέη. τῶν δ' ἄπυργος πόλις ἀνδρῶν.
Χρύσεαι δέ μιν εἶχον ὑπερθυρίοις ἀερτῆαι
Ἑπτὰ πύλαι· τοὶ δ' ἄνδρες ἐν ἀγλαΐαις τε χορῆϊς τε
Τέρψιν ἔχον. τοὶ μὲν γὰρ ἐϋσσώρῳ ἐπ' ἀπήνης
Ἤγοντ' ἀνδρὶ γυναῖκα, πολὺς δ' ὑμέναιος ὀρώρει.
Κῆλε δ' ἀπ' αἰθομένων δαΐδων σέλας εἰλύφαζε
Χερσὶν ὑπὸ δμώων. ταὶ δ' ἀγλαΐῃ τεθαλυῖαι
Πρόσθ' ἔκιον, τοῖσιν δὲ χορὸὶ παίζοντες ἕποντο.
Τοὶ μὲν ὑπὸ λιγυρῶν συρίγγων ἵεσαν αὐδὴν
Ἐξ ἀπαλῶν στομάτων, περὶ δέ σφισιν ἄγνυτο ἠχώ.
Αἱ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα·
Ἔνθεν δ' αὖθ' ἑτέρωθε νέοι κώμαζον ὑπ' αὐλῇ,
Τοίγε μὲν αὖ παίζοντες ὑπ' ὀρχηθμῷ τε ἀοιδῇ,
Τοίγε μὲν αὖ γελόωντες· ὑπ' αὐλητῆρι δ' ἕκαστος
Πρόσθ' ἔκιον· πᾶσαν δὲ πόλιν θαλίαι τε χοροί τε

Lachrymis humida. iuxta autem turrita ciuitas hominum.
Autem autem ipsam tenebant superliminaribus adaptatæ
Septem portæ: hominesque in voluptatibus & choreis
Oblectationem capiebant. Alij siquidem fabrefacto in curru,
Ducebant viro vxorem, multusq; hymenæus excitabatur.
Et procul ab ardentibus facibus fulgor resplendebat,
In manibus famulorum. Mulieres autem venustate florentes
Præibant, quas chori ludentes sequebantur.
Atq. hi quidem canoris tibiis emittebant cantum.
Et tenero ore, circumque ipsos repercutiebatur sonus.
Illæ autem ad modulationem ducebant chorum amabilem.
Inde rursum ex alia parte iuuenes comessabantur ad fistulam,
Alij quidem contra ludentes saltatione & cantu,
Alij autem contra gidentes. ante ibicinem autem singuli
Præcedebant, totamq. ciuitatem lætitiæ, choreæque

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Πλησίον δέ (φησιν) ἐκείνων ἦν πόλις δῦσπος. χρυσαῖ δὲ πύλαι ἐφύλασσον τὴν πόλιν ἐκείνην ἑπτά, ἠρμοσμέναι κὴ κεκλεισμέναι ἐν ὑπερθυρίοις, ἤγουν τῇ φλιᾷ, ἢ ἐν κλεισίν. ἐξ ὧν ὃ λέγει, τὰς ἑπτὰ πύλας θύρας ποεῖν δίδωσιν. οἱ δ' ἄνδρες τ πόλεως ἀφραίνοντο ὄντες χορῆϊς κὴ ἄλλαις ἀφροσύναις. οἱ μὲν γὰρ ἦγον ἀνδρὶ νύμφην ἐπάνω ἁμάξης ἐϋσώστῳ, κὴ εὐσθήρᾳ. ὑπεσῴζετο δὲ τὸ κύκλῳ τῆ ζυγῆ σίδηρον. ἠγείρετο δ πόλις ὕμνῳ, ἤγουν ὑπὸ θαλάμῳ δή. ἐν χερσὶ δ' δμώων ὑπὸ δαΐδων ἠμμένων ἔλαμπε πῦρ μακράν. αἱ δὲ γυναῖκες θάλλουσαι τῇ τ ἱματίων λαμπρότητι, ἠγοῦντο ἐμφρόνως. ἐν ταύταις δὲ ἄλλοι χορεύοντες εἵποντο. κὴ τὸν

τὸν γ

των οἱ μὲν, ὕλοιω· κύκλῳ ᾗ αὐτῶν ἐκλάτο ὁ ἦχος τῦ αὐλῦ. αἱ δὲ γυναῖκες τῇ ῥυθμῷ τῦ αὐλῦ ἀκολυθῆσαι ἐχόρδον. ἐκ ᾗ τῦ ἑτέρυ μέρυς γέω αὐλοιῶντες ἤρχοντο· οἱ μὲν ὀρχέμενοι, οἱ ᾗ παίζοντες κὴ γελῶντες· ἕκασος δὲ ὑπ' αὐλητῇ ἦκον κὴ ἤρχοντο, ἤρεω ἕκασος εἶχεν αὐλητιὼ, ὑφ' ᾧ ὠρχεῖτο κὴ ἔπαιζε. πᾶσαν δὲ τὴν πόλιν διφροσιώσαι κὴ λαμπρότητις εἶχον.

ὅπ τὸ [ἁφαρῆα] συσολιὼ ἔχει τῦ ῑ εἰς ᾰ. ἁφηρῆα γὸ τὸ ἐντελὲς, ἅπως, ἁφέω ἀρῶ, ὁ μέλλων ἀρέσω, ὁ μέσ☉ ᾠδακείμεν☉ ᾖα κὴ ἄρπεα Ἀ'πικῶς. κὴ Αἰχύλ☉·

Ἄρπερε ἥδε γ' ὠλένη δυσκλύτυς.

ἡ μετοχὴ ὁ ἁρπεὼς, κὴ τὸ θηλυκὸν ἡ ἁρπῆα. ἀλλαὶ δὴ κὴ τὸ ὁρώρει συσολιὼ ἔχει τῦ ω μεγάλυ εἰς ὁ μικρόν. ὄ ῥω γὸ τὸ διεγείρω, ὁ μέλλων ὀρῶ, ὁ μέσ☉ ᾠδακείμεν☉ ὦρα, κὴ Ἀ'πικῶς ὄρωρα, ὁ ὑπερσυντελικὸς ὤφειλεν εἶ) ὡρώρειν· τὰ γὸ Ἀ'πικὰ τὰ ἀπὸ βεαχέως ἀρχόμενα ἐν τῷ παρακειμένῳ χρονικῶς μεγεθύνονται ἐν τῷ ὑπερσυντελικῷ. ὥστε συσολιὼ ἔχει τὸ ὁρώρει διὰ τιὼ τῦ μέτρυ ἀνάγκην.

Τῆλε δ' ἀπ' αἰθομένων δαίδων.] τὸ δαίδων ἐντελὲς ὅτι τῦ δάδων. ἀπὸ γὸ τῦ δαὶω τὸ καίω δαὶς κὴ δάς. ὀξυύεται δὲ τὸ δὰς, ὅπ τὰ ὀξυόμενα ἐν τῇ συναιρέσει πάλιν ὀξυύεται· ἑταὼς ἑσὼς, δαὶς δὰς, κὴ τὰ πιπτώτα. σέλας εἰλύφαζε.] τὸ εἰλύφαζεν ἀπὸ τῦ εἴλη ἡ λαμπρότης, κὴ τῦ φῶ τὸ λάμπω, δύο ταυτοσημάντων λέξεων. τεθαλῦῖαι.] θάλλω, ὁ μέλλων θαλῶ, ὁ παρακείμεν☉ τέθαλα, ὁ μέσ☉ τέθηλα, ἡ μετοχὴ ὁ τεθηλὼς, τὸ θηλυκὸν ἡ τεθηλῦῖα. ἴεσαν.] ἤρεω ἔπεμπον· τὸ ἵημι ἵπμι, κὴ ὁ παρατατικὸς ἵεν, τὸ πρῖτον τῆς πληθυντικῶν ἴεσαν. τέοι κώμαζον.] τὸ ἐκώμαζον, ἢ ἐπαγώδευν, ἀκολυθυῦντες τῇ αὐλῷ, ἢ ὡς τιὼ κώμεν ἀπήρχοντο σωὶ τῷ αὐλῷ. οἷόν ἐστι κὴ τὸ [Κωμάζω ποτὶ τὰν Ἀ'μαφυλλίδα] ᾠδὰ τῇ Θεοκρίτῳ.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Χρύσειαι δέ μιν εἶχον.] ἰωὶ κὴ πόλις ἐκεῖ, χρυσᾶς ἔχυσα πύλας ἐπιά. οἱ δὲ ἄνδρες τῆς πόλεως, οἱ μὲν ἔπαιζον, ἄλλοι ᾗ ἐφ' ἁμάξης νύμφιον ἀνδρὶ ἔφερον.

Ἀγλαΐαι τ' εἶχον. τοὶ δ' αὖ περιπάροιθε πόλιος
Νωθ' ἵππων ὀχεβάντες ἐθρώσκον, οἱ δ' ἀρότῆρες
Ἤρεικον χθόνα δῖαν· ὑπεζωσμένοι δὲ χιτῶνας
Ἕστασαν. ἀμητὰρ ἦεν βαθὺ λήϊον· οἱ μὲν ἅμαων
Αἰχμῇς ὀξείῃσι κορωνίοων ἐκ πέπλα,
Βριθόμενα στάχυσιν, ὥσεὶ Δημήτερος ἀκτήν·
Οἱ δ' ἄρ' ὑπ' ἐλλεδανοῖσι δέον, κὴ ἔπλετο ἀλωήν.
Οἱ δ' ἐζύγων ὄπας, λιπαρπάνας ἐν χερσὶν ἔχοντες·
Οἱ δ' αὖτ' ἐς ταλάρους ἐφόρεον ὑπὸ ξυγητέρων
Λευκὰς καὶ μέλανας βότρυας, μεγάλων ἀπὸ ὄρχων,
Βριθομένων φύλλοισι κὴ ἀργυρέης ἐλίκεσσιν.
Οἱ δ' αὖτ' ἐς ταλάρους ἐφόρεον. μέσσῃ δέ σφισιν ὄρχος
Χρύσεος ἵστο, (κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο)
Σειόμενος φύλλοισι καὶ ἀργυρέοισι κάμαξι.
Τῷ γε μὲν οὖν παίζονται ὑπ' αὐλητῆϊ ἕκαστος
Βριθόμενος σταφυλῇσι· μελάνθησάν γε μὲν αἶδε.

Voluptatesque tenebant. Alij autem rursus extra ciuitatem
Tergis equorum conscensis curtebant. aratores autem
Proscindebant terram bonam, alteque tunicas
Succinctas habebant: sed erat profunda seges, vbi alij quidem metebant
Mucronibus acutis rostrata folia,
Grauida spicis, veluti Ceteris cibum.
Alij autem in manipulos ligabant & implebant aream:
Rursum alij vindemiabãt vineas, falces in manibus habentes.
Alij autem in calathis ferebant a vindemiatoribus acceptos
Albos & nigros racemos, magnis ex vitibus,
Grauidis foliis, & argenteis capreolis.
Alij rursus in calathis portabant, iuxtaq. ipsos vites
Argentea erat (inclyta opera) prudentis Vulcani)
Agitata folijs, & argenteis perticis.
Inde quidem igitur ludunt ad tibicinem vnusquisque
Oneratus vuis, quæ ipsæ nigræ erant.

Οἵγε μὲν ἐβάπτιον, τοὶ δ' ἤρυον, οἱ δ' ἐμάχοντο
Πυξ τε καὶ ἐλκηδόν· τοὶ δ' ὠκυπόδας λαγὸς ἤρων
Ἄνδρες θηρευταὶ, καὶ καρχαρόδοντε κύνε δοιὼ,
Ἱέμενοι μαπέειν, οἱ δ' ἱέμενοι ὑπαλύξαι.

Alij quidem calcabãt in lacu, alij hauriebant, alij autẽ dimicabãt
Pugnis & luctando: alij vero alipedes lepores venabantur,
Viri venatores, & serratis dentibus canes duo ante ipsos,
Cupientes assequi, illi autem cupientes effugere.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

